Ξύμφημι νὴ Δίαγε, θαυμάζω δ' ὅτι παθὼν συνεβούλευες, γράφων τισὶ τῶν ἐν τῇ Ἑλλάδι διδασκάλων μὴ χρῆσθαι ἑτέρᾳ παρὰ τὴν τοῦ Βυτμάνου, τὴν ἐκ τοῦ Γερμανικοῦ μεταφρασθεῖσαν, ὥςπερ καὶ ἐμοὶ αὐτῷ ἔγραψας οὑτωσί· " Γραμματικὴν ἄλλην παρὰ τὴν τοῦ Βυτμάνου μὴ μεταχειρίζου εἰς τὸ σχολεῖόν σου " · καὶ ταῦτα διεξοδικωτάτην οὖσαν · περιέχει γὰρ σελ· 510, καὶ ἐν ἀρχῇ περὶ διαλέκτων διδάσκουσαν, καὶ διαιροῦσαν τὰ γράμματα καὶ ὑποδιαιροῦσαν · ἢ ὅτι ὁ ἡμιμαθὴς μεταφραστὴς ὑπ' ἀγνοίας κινούμενος, ἐξεφώνησέ σοί τινας ἐπαίνους ἐν τῷ Προοιμίῳ,

διὰ τοῦτο ἴδιον ἦν ἀνδρὸς τὸν σοφὸν, καὶ εὐεργέτην τῆς Ἑλλάδος ἐπαγγελλομένου, ἑαυτῷ ἀντιπεριπίπτειν, καὶ διώκειν μᾶλλον τὸ δοξάριον τῆς τῶν νέων Ἑλλήνων ὠφελείας; τὸ δὲ θαυμαστὸν, ὅτι ὁ καλὸς κἀγαθὸς Κούμας, ἐν τῇ αὐτῷ μεταφρασθείσῃ χημικῇ, ἐμέμφετο μὲν τοῖς περὶ Νεόφυτον τὸν Πελοποννήσιον, ὅτι Εὐγένιον τὸν Βούλγαριν Ὕπατον τῶν τῆς Ἑλλάδος νέων φιλοσόφων ἐκάλεσαν, ἤδη δὲ τῷ αὐτοῦ μαθητῇ ἐπέτρεψε θεσπεσίως ἐπαινεῖν ἁπλῶς τοὺς τυχόντας·

Ἐνταῦθα δὲ τοῦ λόγου γενομένῳ, εὔλογόν μοι τὰ δοκοῦντα εἰπεῖν περὶ τῶν ἐκ ξένων γλωσσῶν μεταφραζομένων Γραμματικῶν πρὸς διδασκαλίαν τῶν Ἑλλήνων· λέγω οὖν τὰς τοιαύτας Γραμματικὰς ἀξυμφόρους εἶναι τοῖς παισὶ τῶν Ἑλλήνων· α', ὅτι ὑποτίθέασι τὸν ἀναγινώσκοντα ἐπίστασθαι ἤδη, τί ἐστι Γραμματικὴ, ὡς προδιδαχθέντα διὰ Γραμματικῆς τὴν πάτριον αὐτοῦ γλῶσσαν· β', ὡς γενικοῖς κανόσι μὴ θεωροῦσας περὶ τοῦ Ὀρθογραφικοῦ, μήτε περὶ τοῦ Συντακτικοῦ· μάλιστα δὲ οὐδὲν περὶ τοῦ Ὀρθογραφικοῦ διαλαμβάνουσι, διὰ τὸ ἀρκεῖσθαι τοὺς ξένους τῷ γνῶναι τοὺς Συγγραφεῖς, μὴ γράφοντας Ἑλληνιστί· γ', διὰ τὸ παραμιγνύειν σημειώσεις καὶ ὑποσημειώσεις ἁπανταχοῦ τῆς Γραμματικῆς περὶ τῶν Διαλέκτων· ὅπερ πρὸς τῷ μηδὲν ὠφελεῖν, καὶ ἐπιβλαβὲς τοῖς ἀρχαρίοις γίνεται· δ', ὅτι, ὅνπερ οἱ καθ' ἡμᾶς τέλειον λόγον λέγουσι, τὸν συγκείμενον δηλονότι ἐξ ὀνόματος καὶ ῥήματος, οὗτοι ἐν ὑποκειμένῳ καὶ κατηγορουμένῳ θεωροῦσιν· ἅπερ

adressé quelques éloges? mais l'homme qui veut passer pour savant et pour le bienfaiteur des Grecs, doit être conséquent avec lui-même et rechercher l'avantage de la jeunesse, plutôt que des complimens flatteurs. Ce qu'il y a de plus singulier à cet égard, c'est que M. Coumas, dans une traduction qu'il nous a donnée d'un ouvrage chimique, blâme le savant Néophyte du Péloponnèse, d'avoir accordé à Eugène Vulgaris, le titre de *chef des philosophes de la Grèce;* tandis qu'il permet à son disciple de prodiguer au premier venu les titres les plus pompeux.

Comme la discussion a ici pour objet la grammaire de Butman, traduite en grec, il ne me paraît pas hors de propos, d'exposer les raisons qui me font regarder les grammaires que l'on a traduites des autres langues en grec, comme peu propres à l'instruction de la jeunesse hellénique : 1° elles supposent à l'élève la connaissance préliminaire de la grammaire de sa propre langue, et des notions générales de la grammaire; 2° elles ne traitent ni des règles générales, ni de la syntaxe, ni de l'orthographe du grec, même elles négligent tout-à-fait cette dernière partie, parce que les étrangers se contentent de connaître nos auteurs classiques, et ne cherchent point à écrire notre langue; 3° elles remplissent les pages de notes et de remarques sur les dialectes, et arrêtent ainsi les progrès de la jeunesse, qui les trouve confondus avec les principes de la grammaire; 4° nos grammairiens emploient des termes qui, loin d'être empruntés à la logique, sont particuliers à la grammaire, tandis que les étrangers se servent, dans les grammaires grecques, de

termes qui supposent des connaissances acquises : *sujet*, *attribut*, *subjectif*, *objectif*, *proposition*, *objectif immédiat*, etc., tous ces mots sont inintelligibles pour ceux qui veulent étudier la grammaire, parce que c'est pour eux aller de l'inconnu à l'inconnu. Tout en exprimant ma conviction personnelle, je suis bien loin de prétendre que ces grammaires soient mauvaises; je me borne à remarquer que la grammaire grecque, pour les enfans de la Grèce, doit être composée par un grec, et mise à la portée de leur intelligence. Mais le plus grand inconvénient des ouvrages déjà cités, c'est qu'en traduisant mot à mot des langues étrangères en grec, d'ignorans traducteurs corrompent la pureté de notre langue. Ainsi, les enfans, obligés de graver dans leur mémoire des règles défigurées par un idiôme étranger, n'apprendraient qu'un langage bisarre. Sans doute M. Coray s'exprimant lui-même dans un idiôme arbitraire, ne s'oppose pas à cette corruption de notre langue, et, conséquent à ses affections, recommande à la jeunesse ces informes recueils.

Page ιϛ' (1), ou 66 *.) « Après avoir écrit cette improvi-
« sation, le hasard m'a présenté la grammaire intitulée *Terpsithée*, où j'ai observé avec satisfaction que la division des « *lettres*, ainsi que celle des *voyelles*, ne se trouvait pas placée « dans les premiers chapitres. »

Pourquoi donc ne l'avez-vous pas recommandée à l'école de Smyrne et à celle de Chios, tandis qu'elle est reçue dans tous les autres collèges de la Grèce? Il faut examiner cependant si l'auteur est en droit de rejeter

ἀκατάληπτα τοῖς πρωτοπείροις δοκεῖ, μὴ μαθοῦσι πρῶτον, τί ὑποκείμενον, καὶ τί κατηγορούμενον, καὶ τί πρότασις· καὶ εἴη τοῦτ' ἄντικρυς, τὸ ἀπὸ τῶν μὴ ἀγνώστων ἄρχεσθαι, καὶ μηδὲ δυναμένων γνωσθῆναι, διὰ τὸ ἄλλα προσαπαιτεῖν πρὸς τὴν τούτων γνῶσιν· ταῦτα δὲ λέγων, οὔ φημι ταύτας μὴ εἶναι καλὰς Γραμματικάς. λέγω δ' ὅτι τὴν τῶν Ἑλλήνων Γραμματικὴν, ὑφ' Ἕλληνος γράφεσθαι δεῖ: τὸ δὲ μέγιστον, ἐπεὶ τῶν μεταφραστῶν οἱ πλεῖστοι κατὰ λέξιν μεταφράζουσι, καὶ διαφθείρουσι τὸν χαρακτῆρα τοῦ καθ' Ἕλληνας λόγου, οἱ διδασκόμενοι, ἐνθυμούμενοι κανόνων τινῶν, καὶ ἀπὸ στόματός τι μαθόντες ξένον τοῦ Ἑλληνικοῦ λόγου, διαφθεροῦσι καὶ τὴν ἀνὰ χεῖρας ὁμιλίαν· καὶ τοῦτο δήπου ἐφιέμενος γενέσθαι ὁ Σχεδιαστὴς, παρῄνει τοῖς ἐν Ἑλλάδι διδασκάλοις τοιαύταις τισὶ Γραμματικαῖς χρῆσθαι.

Σελ. ιθ' (1), ἢ 66*.) " Ἀφ' οὗ ἔγραψα τὸ Σχεδίασμα τοῦτο, " μ' ἔτυχε νὰ ἴδω τὴν Γραμματικὴν ἐπιγραφομένην Τερψιθέαν, εἰς " τὴν ὁποίαν παρετήρησα, μὲ εὐχαρίστησιν, ὅτι καὶ ἡ διαίρεσις " τῶν Γραμμάτων, καὶ ἡ διαίρεσις τῶν φωνηέντων λείπουσι κατ' " ἀρχάς."

Διατί οὖν οὐ συνέστησας ταύτην τῷ Σχολείῳ τῆς Σμύρνης, καὶ τῷ τῆς Χίου, ἁπάντων τῶν τῆς Ἑλλάδος διδασκάλων αὐτίκα τυπωθεῖσαν ἀποδεξαμένων; Σκεπτέον μέντοι, εἰ

εἰς δέον ἐκφαυλίζει τὴν διαίρεσιν τῶν Γραμμάτων, ὡς ἐπιϐλαϐῆ τοῖς ἀρχαρίοις.

Οἶμαι τοίνυν τὸν περὶ ἕκαστον τῶν τοῦ λόγου μερῶν ἀσχολούμενον, προμαθόντα τὴν δύναμιν τῶν Γραμμάτων, τοῦτο ποιεῖν· ὁ γὰρ λόγος ἐκ λέξεων, αὗται δὲ ἐκ συλλαϐῶν, αἱ δὲ, ἤτοι ἐκ φωνηέντων, ἢ ἐκ τούτων καὶ ἐκ συμφώνων, αἱ δὲ δίφθογγοι ἐκ δύω φωνηέντων, ὧν ἀνάγκη πρῶτον εἰδέναι τὸν φθόγγον, εἶτα συλλαϐίζειν, μετὰ δὲ λέγειν, καὶ ἀποφαίνεσθαι· ταῦτα δὲ μὴ προειδὼς, πῶς ἄντις γνοίη, διὰ τί τῶν κλίσεων αἱ μὲν ἰσοσύλλαϐοι, αἱδὲ περιττοσύλλαϐοι· καὶ τῶν ὀνομάτων τὰ μὲν μονοσύλλαϐα, οὑτωσί πως, φέρε, κλίνεται, κἀκείνως δὲ τὰ πολλυσύλλαϐα; καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως· καὶ ἐοίκασιν ἄρα ὀρθῶς ποιεῖν τὰ σοφὰ τῶν κατ' Εὐρώπην ἐθνῶν, ἑπόμενα ταῖς γραμματικαῖς ἀρχαῖς τῶν Ἑλλήνων. Εἰδὲ ταῦτα οὐδοκεῖ τῷ ἡματέρῳ φιλολόγῳ, μὴ μαθόντι ἀπ' ἀρχῶν τινων βαδίζειν ἐπὶ τὰ συνθετώτερα, ἄλλος ὁλόγος.

Ἀτοπώτατον δὲ καὶ τὸ λέγειν τὴν Γραμματικὴν δεῖν περιέχειν τὰ μέρη τοῦ λόγου, καθ' ἣν τάξιν ταῦτα ἐν μύθῳ, φέρε, ἢ ἐν ποιήματι, ἢ ἔν τινι λόγῳ διέτακται· οὐ γὰρ ἅπαντες τὸν αὐτὸν μῦθον, ἢ λόγον ἀρχόμενοι τοῖς ἀρχαρίοις διδάσκουσι. καὶ δεήσει ἄρα τοσούτων διαφερουσῶν Γραμματικῶν, ὅσον ἂν τὰ μέρη τοῦ λόγου ᾖ διατεταγμένα διαφόρως. ὅθεν οὐ δεῖ τὴν Γραμματικὴν ἕπεσθαι ἁπάσῃ τάξει τῇ τῶν μερῶν τοῦ λόγου. ταῦτα δέ γ' ἐφαρμόζεσθαι τῇ Γραμ-

du commencement de la grammaire la division des lettres.

Quiconque se propose d'étudier les parties du discours, doit savoir la valeur des lettres. Le discours est composé de mots, les mots sont composés de syllabes formées par les voyelles et par les diphtongues, ou par le concours des voyelles avec les consonnes; il faut donc en connaître l'épellation avant d'étudier les parties du discours. Car comment, sans cela, comprendre que les déclinaisons se divisent en parisyllabiques et en imparisyllabiques, et qu'il y a des noms ou d'autres parties du discours composées d'une ou de plusieurs syllabes? Les philologues de l'Europe littéraire ont bien fait de suivre les principes des grammaires grecques à cet égard. Aller du connu à l'inconnu est un principe évident pour tout le monde et qui mérite d'être reconnu même par un réformateur du langage.

Je ne connais pas de prétention plus dénuée de fondement que celle de vouloir que les parties du discours se reproduisent dans une grammaire, dans le même ordre où elles se trouvent placées dans quelques fables, ou dans quelques poèmes. Comme tous les professeurs ne sont pas tenus de commencer par expliquer telle ou telle fable, tel ou tel poème, il nous faudrait autant de grammaires qu'il y a de combinaisons des parties du discours dans chacun de ces ouvrages. Ainsi, nul avantage à traiter les parties du discours dans une grammaire, dans l'ordre qu'elles peuvent avoir dans un ouvrage quelconque; il est au contraire essentiel que les mots s'appliquent à leurs types présentés dans la grammaire. Les

professeurs de la Grèce expliquent d'abord la grammaire à leurs écoliers, et ensuite ils leur enseignent à appliquer chaque mot aux paradigmes de la grammaire. Et vous, après avoir fait cet aveu : « les professeurs, toujours occupés de l'enseignement dont je n'ai que la théorie, sont plus en état que moi de distinguer ce qui est utile de ce qui ne l'est pas », vous vous êtes permis de vous faire le guide de leur expérience, et de blâmer toutes les anciennes grammaires grecques, parce qu'elles ne traitent pas d'abord du *nom*, ensuite de la *conjonction*, en troisième lieu de l'*adverbe*, et enfin, du *verbe*; et que, dans la maxime suivante : *ἀνὴρ δὲ χρηστὸς, χρηστὸν οὐ μισεῖ ποτέ*, que l'on explique dans quelques colléges aux commençans, l'ordre des mots est celui que vous préconisez, comme si les professeurs, en Grèce, étaient assez peu instruits pour ignorer qu'ils ne doivent pas demander aux écoliers comment se décline *ἀνὴρ*, avant de leur avoir appris ce que c'est que le nom.

Page ιθ', lig. ιγ', ou 67, ι. « Il fallait rejeter le nom-« bre duel, parce qu'il ne se trouve point dans ce « vers. »

Quoique le duel ne se trouve pas dans ces maximes, il existe même dans le langage des ignorans, qui disent : *ἐρχόμεθον, γραφόμεθον, καθήμεσθον, καὶ τὼ ἀνθρώπω ἔφυγον*, etc. Ainsi, il n'est pas impossible, pas même difficile pour eux, avec le secours de quelques règles, de l'employer correctement, et de ne pas le confondre avec le pluriel.

Page κ', lig. θ', ou 67, 19. « Le troisième défaut des

ματικῇ· διὰ δὴ τοῦτο καὶ οἱ ἐν τῇ Ἑλλάδι διδάσκοντες, πρῶτον μὲν εἰσηγοῦνται τοῖς μαθηταῖς τὰ ὀκτὼ μέρη τοῦ λόγου· μετὰ δὲ παραφράζοντες τοὺς συγγραφεῖς, ἐφαρμόζουσι τὰ μέρη τοῦ λόγου τοῖς ἐν τῇ Γραμματικῇ τύποις· Σὺ δὲ εἰπὼν ἀνωτέρω "οἱ διδάσκαλοι ἀσχολούμενοι καθ' "ἡμέραν εἰς τὴν πρᾶξιν τῆς παραδόσεως, τῆς ὁποίας ἐγὼ "δὲν ἔχω παρὰ τὴν θεωρίαν, εἶναι ἀσυγκρίτως ἱκανώτεροι "νὰ διακρίνωσι τὸ συμφέρον ἀπὸ τὸ ἀνωφελὲς", καὶ ὁμολογῶν ἀγνοεῖν τὸν τῆς διδασκαλίας τρόπον, ἐπάγεις ἔπειτα παράδειγμα, ὡς ἔμπειρος τοῦ διδάσκειν, ὡς ἔδει ἐν τῇ Γραμματικῇ πρῶτον τῇ τάξει εἶναι τὸ Ὄνομα, δεύτερον τὸν Σύνδεσμον, τρίτον τὸ Ἐπίῤῥημα, εἶτα τὸ Ῥῆμα, διὰ τὸ ταῦτα οὕτως εἶναι ἐντῷ "ἀνὴρ δὲ χρηστὸς, χρηστὸν οὐ μισεῖ ποτέ"· ὡς τοὺς διδασκάλους ἀνοήτους ὄντας, καὶ πρὶν ἢ τοὺς μαθητὰς εἰδέναι τοὺς τύπους τῶν τοῦ λόγου μερῶν, ἐρωτῶντας τὸ, πῶς τὸ, ἀνὴρ, ἢ τὸ, χρηστὸς κλίνεται.

Σελ. ιθ', στιχ. ιγ', ἢ 67, 2. "Ἐπειδὴ εἰς τὰς μονοστί- "χους ταύτας γνώμας, δὲν εὑρίσκεται ὁ δυϊκὸς ἀριθμός."

Εἰ καὶ μὴ ἐν ταύταις, ἀλλ' εὑρίσκεται καὶ ἐν τῇ τῶν ἀπαιδεύτων γλώσσῃ, λεγόντων οὐκ ἀναλόγως μὲν τοῖς ἀριθμοῖς, ἀλλ' οὖν λεγόντων· ἐρχόμεθον, γραφόμεθον, καθήμεσθον, καὶ τὼ ἀνθρώπω ἔφυγον, καὶ ἐν ἄλλαις φράσεσιν· ὅθεν οὐ δυσχερὴς, οὐδ' ἀδύνατος αὐτοῦ ἡ ὀρθὴ χρῆσις, μικρᾶς ὁδηγίας δεομένων τῶν μαθητῶν.

Σελ. κ', στιχ. θ', ἢ 67, 19. "Τὸ τρίτον αὐτῆς σφάλμα

" λέγω τὴν ἀμεθοδίαν, ἢ νὰ εἴπω σαφέστερον, ἡ ἀμετρία
" τῆς Γραμματικῆς εἶναι μέρος τῆς ἀμεθοδίας."

Οὐκ ὀρθόν· εἰσὶ γὰρ καὶ τῶν ἄλλων γλωσσῶν Γραμματικαὶ ἐκτεταμέναι καὶ εὐμέθοδοι· τὴν δ' Ἑλληνικὴν δεῖ περιέχειν τὸ Τεχνολογικὸν, τὸ Ὀρθογραφικὸν, τὸ Συντακτικὸν, τὸ περὶ Διαλέκτων.

ΚΕΦΑΛΑΙΟΝ Β'.

ΠΕΡΙ ΑΡΘΡΟΥ.

Στιχ. κ', ἢ 33. " Ἀρχίζουσι κοινῶς αἱ Γραμματικαὶ
" ἀπὸ τοῦ Ἄρθρου."

Πάνυ καλῶς γε ποιοῦσαι· ἀνάγκη γὰρ ἄρχεσθαι ἀπὸ τῶν ἁπλουστέρων· τοῦτο δὲ οὐ μόνον ἁπλούστερον κατὰ τὴν κλίσιν, ἀλλὰ καὶ προοδοποιοῦν εἰς τὰς τῶν Ὀνομάτων· αἱ γὰρ λήγουσαι τῶν πληθυντικῶν εἰς ας, καὶ ης ἀρσενικῶν, καὶ εἰς ᾰ θηλυκῶν αἱ αὐταί εἰσι ταῖς αι, ων, αις, ας· τῶν δὲ θηλυκῶν εἰς η ἅπασαι ἐμφαίνονται ταῖς τοῦ Ἄρθρου, η, ης, ῃ, ην, κ. τ. λ· τῶν δὲ εἰς ος ἀρσενικῶν καὶ θηλυκῶν, πλὴν τῆς Ὀνομαστικῆς τοῦ ἑνικοῦ, αἱ αὐταί εἰσι ταῖς τοῦ ἀρσενικοῦ Ἄρθρου ου, ῳ, ον· οι, ων, οις, ους·

« grammaires, c'est que, par une erreur de méthode, « on les fait trop volumineuses. »

Cette observation n'est pas fondée; il y a dans toutes les langues des grammaires qui, pour être volumineuses, n'en sont pas moins écrites avec méthode et clarté, et il faut sans doute entrer dans quelques détails pour expliquer les quatre parties de la grammaire grecque, savoir: la *technologie*, l'*orthographe*, la *syntaxe* et les *formes des dialectes*.

CHAPITRE II.

DE L'ARTICLE.

Ligne λδ', ou 33. « Les grammaires commencent communément par l'article. »

Il est naturel de commencer par ce qui est simple; ainsi l'article, dont la déclinaison est comme une introduction à celles des noms, doit tenir la première place dans une grammaire. Les désinences plurielles : αι ων αις, ας, pour les noms masculins en ας, et en ης, et pour les noms féminins, en α, sont les mêmes que celles de l'article, dont le féminin se terminant en η, ης, η, ην, marque toutes les désinences des noms féminins en η; les noms masculins et féminins en ος, à l'exception du nominatif, se terminent, dans tous leurs cas, de la même manière que l'article masculin : ου, ῳ, ον, οι, ων, οις,

ους. Ainsi, les élèves qui connaissent déjà les articles, connaîtront bientôt les terminaisons d'un grand nombre de noms.

Ligne κδ', ou 34. « Qui n'est point une partie essen-« tielle du discours. »

Il n'est point nécessaire que les élèves s'occupent, dès le commencement, de ce qui est essentiel au discours. Car le verbe est plus essentiel que le nom, qui sans le verbe, exprimé ou sous entendu, ne peut nous donner aucune idée complète, tandis que le verbe nous la donne très-souvent par lui seul : βρέχει, ἀστράπτει, *il pleut*, *il tonne*.

Ligne κς', ou 68, 1. « Et puisqu'Homère l'emploie « rarement. »

Mais ce n'est point parce que l'article n'est pas une partie essentielle du discours qu'Homère l'emploie rarement; c'est plutôt parce que la mesure l'oblige à le supprimer et à regarder ainsi les noms comme déjà connus; ce qui, au reste, ne rend pas ce poète plus obscur; car la poésie suppose que les personnes et les évènemens sont déjà connus du lecteur. Mais lorsque le sens l'exige, ne pouvant déterminer les noms par l'article, Homère les explique par d'autres phrases; ce qui prouve l'usage de l'article dans la prose, même de son temps. Cependant, il en fait usage, en cas de besoin, lorsque le rythme ne gêne pas l'expression.

Ligne κζ', ou 2. « Même il y a des langues qui n'ont « pas d'article. »

Est-ce une raison pour la grammaire grecque de ne point commencer par l'article? Belle conséquence, en

ὁ οὖν εἰδὼς τὰς ληγούσας τοῦ Ἄρθρου, οἶδεν ἀπόνως καὶ τὰς τῶν Ἰσοσυλλάβων Ὀνομάτων.

Στιχ. κε΄, ἡ 34. " Τὸ ὁποῖον δὲν εἶναι μέρος οὐσιῶδες " τοῦ λόγου."

Οὐκ ἀνάγκη τὸν πρωτόπειρον εἰδέναι τὰ οὐσιώδη μέρη τοῦ λόγου· ἐπεὶ οὕτωγε τὸ ῥῆμα οὐσιωδέστερον ἂν εἴη τοῦ Ὀνόματος, διὰ τὸ πολλὰ ῥήματα καθ' ἑαυτὰ ἐμφαίνειν τέλειόν τι νόημα, βρέχει, ἀστράπτει, βροντᾷ· τὸ δὲ Ὄνομα ῥήματος ἄνευ ἤτοι λεγομένου, ἢ ἐννοουμένου, παρίστησιν οὐδαμῶς ἔννοιαν ἐντελῆ.

Στιχ. κϛ΄, ἡ 68, ι. " Ἐπειδὴ σπανιώτατα τὸ μετεχει- " ρίσθη ὁ Ὅμηρος."

Οὐ διὰ τὸ μὴ εἶναι μέρος οὐσιῶδες, ἀλλὰ διὰ τὸ ἀνένδεκτον τοῦ μέτρου, παραλιμπάνει αὐτὸ ἔσθ' ὅτε, ὡρισμένα καὶ ἐγνωσμένα τὰ πρόσωπα λαμβάνων, ἢ τὰ πράγματα· περιαδομένης γὰρ οὐκ ἀγνώστου ἱστορίας ἡ ποίησις· πολλάκις δὲ καὶ ἀνάρθρως ποιῶν τινα, διὰ τῶν ἑξῆς ταῦτα προσδιορίζει· ὅπερ καὶ δείκνυσι τὸ κατ' ἐκεῖνο τοῦ χρόνου ἐν τοῖς πεζικοῖς τοῦ Ἄρθρου εὔχρηστον· ἀλλὰ μὴν καὶ χρῆται αὐτῷ, τῆς ἀνάγκης τοῦ λόγου ἀπαιτούσης, καὶ μὴ ἀντιβαινούσης τῷ ῥυθμῷ.

Στιχ. κζ΄, ἡ 2. " Καὶ εἶναι γλῶσσαι, εἰς τὰς ὁποίας " δὲν εὑρίσκεται."

Ἆρ' οὖν διὰ τοῦτο τὴν Γραμματικὴν οὐ δεῖ ἀπὸ τοῦ Ἄρθρου ἄρχεσθαι; τῷ ὄντι αἰτία οὐδὲ, ἡ Λατινικὴ; καὶ ἡ

Ῥωσσικὴ γλῶσσα οὐκ ἔχουσιν Ἄρθρα, ἄρα οὐ δεῖ τὴν Ἑλληνικὴν Γραμματικὴν ἄρχεσθαι ἀπὸ τοῦ Ἄρθρου.

Στιχ. κη', ἢ 2. " Ὁρίζουσι τὸ Ἄρθρον μέρος λόγου " πτωτικόν·" ἅτε δὴ ἔχον πτώσεις.

Σελ. κα', στ. α', ἢ 3. "Προτασσόμενον τῶν ὀνομάτων."

Πρὸ τῶν οὐσιαστικῶν δηλονότι, οἷς καὶ κυρίως σύνεστιν· οὐ κυρίως δέγε τοῖς λοιποῖς μέρεσι τοῦ λόγου· ἀόριστον γὰρ ἐνέργειαν ἢ πάθος ἐμφαῖνον τὸ Ἀπαρέμφατον, οὐκ ἂν ὁρισθείη καὶ μετὰ τὴν τοῦ Ἄρθρου ἐπέλευσιν· διὸ οὐ κυρίως τὸ Ἄρθρον ἐδέξατο· ἀλλ' οὐδὲ τὰ λοιπὰ μέρη τοῦ λόγου· ὅτε γὰρ λέγομεν, ὁ πάλαι, τὸ λέγε, ἡ αὐτὸς, ὁ δὲ, ἡ περὶ, τὸ περιπατεῖν, πρὸς παράδειγμα τῶν Ὀνομάτων ταῦτα λαμβάνομεν, ἅτε μὲν ὑποκείμενα, ἅτε δὲ κατηγορούμενα, ὅτε δ' αὖ ἐνεργείας δεικτικὰ ἐν ταῖς τοῦ λόγου προτάσεσι γινόμενα. Ἐπεὶ δ' αὗται καὶ μετὰ, καὶ ἄνευ προσδιορισμοῦ εἰσιν, ἐπάναγκες καὶ τοὺς ὅρους προσδιορίζειν κἄντε ἐπ' εὐθείας, κἄντε μή· οἷον, ὁ Σωκράτης περιπατεῖ, τελείαν ἐδήλου τὴν ἔννοιαν· μὴ ἐπ' εὐθείας δὲ, ὁ πάλαι παραγέγονεν· ὑπέγραψε μὲν τὸ ὑποκείμενον ὁ πάλαι, ἀσαφῶς δέ· ἄδηλον γὰρ, εἰ ὁ πάλαι ἄνθρωπος, ἢ ὁ καιρὸς, ἢ ὁ κίνδυνος, ἢ κ. τ. λ. οὕτω καὶ τὸ φιλοσοφεῖν τὸ ἔργον τῆς φιλοσοφίας ἐδήλου· ἔνθεντοι καὶ τοῦ Ἄρθρου μεταβάλλοντος πτώσεις, ταῦτα οὐ

vérité ! La langue latine et la langue russe n'ont pas d'articles, donc la grammaire grecque ne doit pas commencer par l'article.

Ligne κη', ou 2. « Les grammairiens le définissent, « partie du discours casuelle. »

La définition est bonne, parce que l'article a des cas.

Page ϛ', ligne α', ou 3. « Ils ajoutent qu'il est placé « devant les noms. »

L'article n'accompagne rigoureusement que les noms substantifs. On l'ajoute aux autres parties du discours pour donner plus de concision aux tours de phrases. L'infinitif, tant qu'il marque une action d'un sujet inconnu, ne peut pas devenir défini, lors même qu'on y ajouterait l'article. Placé devant les adverbes, les verbes, etc. τὸ σήμερον, τὸ πάλαι, τὸ λέγειν, ἡ αὐτοῦ, ὁ δὲ, ὁ μὲν, ἡ ἡμέρα, etc., il leur donne la forme et la force des noms pour qu'ils puissent ainsi devenir, tantôt les sujets, tantôt les attributs des propositions ; et, comme celles-ci se trouvent tantôt déterminées, tantôt indéterminées, nécessairement leurs termes doivent l'être aussi, soit que leur sens soit complet ou non. La proposition : ὁ Σωκράτης περιπατεῖ est complète ; mais celle-ci : ὁ πάλαι παραγενόμενος ne l'est point, parce que ὁ placé devant l'adverbe πάλαι n'explique pas le sujet, il peut se rapporter à ἄνθρωπος, à πατρὸς, à κίνδυνος, etc. Il en est de même de la proposition τὸ φιλοσοφεῖν ἐστὶν ἡδὺ, où le sujet φιλοσοφεῖν est déterminé par l'article τὸ ; mais l'article τὸ ne se rapporte pas directement à φιλοσοφεῖν. Le véritable sujet est τὸ ἔργον τῆς φιλοσοφίας ; ainsi l'article changeant

de cas, devant les parties du discours qui n'en ont point, les laisse dans leur état indéclinable : ὁ πάλαι, τοῦ πάλαι, etc. L'article est donc naturellement destiné à accompagner et souvent à déterminer les noms substantifs, de même que les pronoms nous représentent naturellement les noms propres. En effet, l'article placé devant les adjectifs, indique aussi, avec le substantif auquel il se rapporte, le participe ὤν sous entendu. Ainsi, c'est à tort que notre littérateur reproche à la définition de l'article une inexactitude qu'elle ne renferme point.

Ligne 11 ou 9. « Cette mauvaise définition désigne comme article, ὃς, qui n'est qu'un pronom employé pour ἐκεῖνος. »

Je ne sais sur quelle autorité est fondée cette explication de ὃς pour ἐκεῖνος ; peu importe ; cependant si ὃς est démonstratif, et que ὁ, τὸ, τῷ, etc., le soient aussi dans les poètes ainsi que dans les dialectes, pourquoi ces articles ne seraient-ils pas aussi des pronoms ? au contraire, si ὃς est une particule relative, pourquoi l'expliquer par ἐκεῖνος ? Les articles ὁ, ἡ, τὸ, nommés *prépositifs*, ne marquent-ils pas un rapport ? Dans ὁ ἄνθρωπος, l'article ὁ m'indique un homme déjà connu. Or, en prenant pour base le sens démonstratif, ou le sens relatif, on est forcé de reconnaître que tous les articles peuvent être des pronoms, et vice versâ ; même on serait obligé d'admettre au nombre des pronoms les particules τοῖος, οἷος, τότε, ὅτε, qui expriment aussi un sens relatif.

Examinons si l'idée du rapport, que ὁ et ὃς présentent, est semblable à celle des autres particules relatives, et même à celle du pronom αὐτός. Les noms

μεταβάλλει· καὶ ἐλέγχεται ὁ ἀνὴρ μὴ καλῶς ἐπιστήσας τῷ ὁρισμῷ, ὃς κυρίως τὸ Ἄρθρον τοῖς οὐσιαστικοῖς προσνέμει, καθάπερ καὶ ὁ τῆς Ἀντωνυμίας· ἀντὶ ὀνόματος γὰρ καὶ αὕτη τοῦ κυρίου παραλαμβάνεται· συνημμένον γὰρ τὸ Ἄρθρον τοῖς Ἐπιθέτοις πρὸς τῷ οὐσιαστικῷ καὶ μετοχὴν συνεφέλκεται, ὡς κατωτέρω ῥηθήσεται· καὶ δῆλον ἐντεῦθεν, ὅτι ὁ Ὁρισμὸς τοῦ Ἄρθρου ἔρρωται, καὶ ὁ φιλολόγος οὐκ ὀρθῶς ἀντιλέγει.

Στιχ. ς', ἡ 9. "Ὅτι ὑποθέτει Ἄρθρον τὴν Ἀντωνυμίαν "ὅς, ἐκεῖνος."

Οὐκ οἶδα διὰ τί ἐξηγεῖται τὸ ὃς τῷ ἐκεῖνος· ἀλλ' εἰ μὲν δεῖξιν τὸ ὃς δηλοῖ, καὶ τὰ τὸ, τὸν, τὴν, κ. τ. λ. ταύτην ἐμφαίνει ἔντε τοῖς ποιηταῖς κἀν ταῖς Διαλέκτοις, τί μὴ μᾶλλον ταῦτα Ἀντωνυμίαι, ἢ τὸ ὅς; εἰ δὲ ἀναφορὰν, διὰ τί ἐξήγηται τῷ, ἐκεῖνος; ἀλλ'. ἐβουλόμην εἰδέναι, εἰ τὰ προτακτικὰ τῶν Ἄρθρων, οὐκ ἀναφορὰν δηλοῖ. δοκεῖ γὰρ ἔμοιγε ὁ ἄνθρωπος εἰπόντι ἐγνωσμένον τινὰ ἐννοῆσαι· τῷ οὖν τοιῷδε λόγῳ, οὐδὲν κωλύει ἅπαντα τὰ ἄρθρα Ἀντωνυμίας εἶναι· καὶ νὴ Δίαγε καὶ τὰ, τοῖος, οἷος· τότε, ὅτε, ἀναφορὰν καὶ ταῦτα δηλοῦντα.

Ἔστι μέντοι θεωρῆσαι τὴν πρὸς ἄλληλα τῶν Ἄρθρων ὁ καὶ ὃς διαφορὰν, καὶ τῶν ἄλλων ἀναφορικῶν μορίων, ἀλλὰ καὶ αὐτῆς τῆς αὐτὸς Ἀντωνυμίας· ὃν γὰρ λόγον τὰ ὀνόματα

ἄνευ Ἄρθρου ἀπροσδιόριστά ἐστι, τὸν αὐτὸν ἡ ἐπαγομένη φράσις, ἡ ἔχουσα τὸ, ὅς, ἀναγκαίως ἀπαιτεῖ τὴν προηγουμένην εἰς δήλωσιν καὶ προσδιορισμὸν τῆς ἐννοίας· ὥσπερ γὰρ εἰπόντα, ἄνθρωπος ἦλθεν, ἐπερώτησεν ἂν εὐλόγως ὁ ἀκούσας, ὁ τίς· οὕτω καὶ λέγοντα, ἐμοὶ πολεμεῖ ὁ πράττων ταῦτα, ὑπέλαβεν ἄν, τὰ ποῖα· οὐ μέντοι ταὐτὸ παρέπεται ἀκούσαντι ὁ ἄνθρωπος ἦλθεν, ἢ ἐμοὶ πολεμεῖ ὁ ταῦτα πράττων, οἷς ἂν ἐγὼ ληφθείην· προσεδιώρισα γὰρ ἀμφότερα· ὅπερ οὐ παρασυμβαίνει τῷ τοῖος, οἷος· εἴγε ἀπολελυμένως ἐσθ' ὅτε λέγεται· ἀλλ' οὐδὲ τῇ αὐτός, μὴ κατὰ σύλληψιν ἀπαιτούσῃ τὸ ἐν τῷ λόγῳ ἡγούμενον· ἐπάγεται γὰρ καὶ μετὰ ἑτέρας σχοινοτενεῖς φράσεις, παρεμπεπτωκυίας μεταξὺ τοῦ ὀνόματος καὶ αὐτῆς· δυνατὸν δὲ καὶ τὸν καὶ προκεῖσθαι τῆς αὐτός· ὁ Πλάτων παρεγένετο, καὶ αὐτὸς ἐδίδαξεν, ὅπουγε τὸ ὅς, ἀσυνέλευστον ὂν τῷ καί, ἀμέσως τε τῷ ἡγουμένῳ ἑπόμενον, προσεδιώρισε τὸ ἀοριστᾶινον τῆς ἐννοίας· οἷον, σοφὸς ἀνὴρ, ὃς ταῦτα λέγει· διὰ γὰρ τοῦ ὃς ἐγνώσθη ὁ σοφός· καὶ δυνάμει ἄρα τῷ ὃς ἐμπεριείληπται τὸ, ἐκεῖνος καὶ τὸ, ὁ: τὸ γὰρ πλῆρες ἦν, σοφὸς ὁ ἀνὴρ ἐκεῖνος, ὃς ταῦτα λέγει: καὶ ἐν γένει ἄρα τὸ ὃς ἐφέλκεται τὰς δεικτικάς, ἢ τὰς προσωπικὰς τῶν Ἀντωνυμιῶν, καὶ αὐτὸ τὸ προτακτικὸν Ἄρθρον· οἷον,

Οὗτος μὲν πανάριστος, ὃς αὐτὸς πάντα νοεῖ·

Αἴτιον δὲ τῆς τοιᾶσδε συναφείας, ὅτι τὰ, ὃς ταῦτα λέγει, ὃς πάντα νοεῖ, δυνάμει Μετοχαί εἰσιν ἔναρθροι, ὁ νοῶν πάντα, ὁ λέγων ταῦτα· ἔνθα πάλιν τὸ Ἄρθρον δυνάμει ἐμπεριείληφε τὸ, ἐκεῖνος, ὅς· ἀλλὰ μὴν τὸ, ὃς λέγει ὑπέφαινε τὸ ὁ, καὶ τὸ ἐκεῖνος· πῶς οὖν τὸ

employés sans article, représentent une idée vague; ainsi les propositions qui renferment la particule relative ὃς, demandent à être précédées d'autres propositions qui déterminent et complètent les sens; si je dis : ἄνθρωπος ἦλθεν, il restera à demander : ὁ τίς; si je dis encore : ἐμοὶ πολεμεῖ ὁ πράττων ταῦτα, on me demandera : τὰ ποῖα; cependant, en disant ὁ ἄνθρωπος ἦλθε, ou ἐμοὶ πολεμεῖ ὁ πράττων ταῦτα, οἷς ἂν ἐγὼ ληφθείην, j'ai tout défini, et mon auditeur est satisfait. Mais on ne trouve pas entre τοῖος et οἷος la même liaison d'idées. Ces adjectifs peuvent se prendre dans un sens absolu. Il en est de même du pronom relatif αὐτὸς, que l'on emploie même après plusieurs phrases qui le séparent du nom auquel il se rapporte. On peut encore faire précéder αὐτὸς de καὶ : ὁ Πλάτων παρεγένετο, καὶ αὐτὸς ἐδίδαξε. Mais on ne peut pas mettre καὶ devant ὃς qui se joint immédiatement au mot précédent, pour en déterminer le sens; σοφὸς ἀνὴρ, ὃς ταῦτα λέγει. Ici, la particule ὃς définit σοφὸς, de façon que ὃς entraîne nécessairement le pronom démonstratif ἐκεῖνος et l'article ὁ; car la phrase complète est : σοφὸς ἀνὴρ, ὃς ταῦτα λέγει, et on peut dire en général : *la particule* ὃς *représente les pronoms démonstratifs et personnels, ainsi que l'article :*

Οὗτος μὲν πανάριστος, ὃς αὐτὸς πάντα νοεῖ·

La raison en est, que la phrase : ὃς ταῦτα λέγει est l'analyse du participe articulé ὁ λέγων ταῦτα, ainsi que ὃς πάντα νοεῖ est celle du participe, ὁ νοῶν πάντα, dans lequel l'article ὁ représente ὃς et ἐκεῖνος· or, la particule ὃς, représente aussi ὁ et ἐκεῖνος. Si donc ὁ et ὃς avaient quelque différence, comment tous les deux représente-

raient-ils le pronom ἐκεῖνος? et si ὁ est un article, pourquoi ὃς ne le serait-il pas? Certes, les anciens avaient raison de nommer ὁ *article prépositif*, et ὃς *article conjonctif*; ils suivaient, en cela, le génie de leur langue, qu'ils ne s'efforçaient pas d'assujétir aux principes des langues étrangères.

Page κά (1), ou 68. *.) « Dans ὁ ἐμὸς πατὴρ Apollonius « (lib. I, page 66), attribue l'article à πατὴρ. »

Il a raison, parce que l'article appartient essentiellement aux noms substantifs, sans lesquels les adjectifs ne nous donnent aucun sens défini : ὁ Πλάτων nous dit tout; tandis que ὁ φιλόσοφος ne présente qu'une idée vague. Prétendre que, dans les adjectifs, l'article entraîne le participe ὤν, auquel il appartient, c'est avancer un principe erroné; les adjectifs, joints à l'article, présentent une proposition qui, implicitement, annonce le sujet et l'attribut : ὁ φιλόσοφος, pour ὁ ὢν φιλόσοφος· je dis *implicitement*, parce qu'elle n'est pas développée dans ces adjectifs, ainsi que dans les participes qui, accompagnés de l'article, peuvent abréger une proposition et la rendre sujet ou attribut d'une autre quelconque: l'article, en effet joint aux adjectifs, indique le participe ὢν sous-entendu; mais il n'appartient pas à ὢν qui, dans ce cas là, joue le rôle d'une conjonction. En effet, si l'article ὁ appartenait au participe ὢν, alors ὁ ὢν selon Platon, représenterait l'idée d'un être *qui existe toujours*; mais la phrase ὢν φιλόσοφος équivaut à φιλοσοφῶν, et celle de ὁ ὢν φιλόσοφος à ὁ φιλοσοφῶν, qui, comme nous l'avons prouvé plus haut, est la même que οὗτος, ὃς φιλοσοφεῖ. Or, l'article ὁ n'appartient ni à l'adjectif

ὁ καὶ τὸ, ὅς, κ' ἕτερα αὐτὰ τοῦ ἐκείνας, ἃ ταύταις ἐμπεριείληπται, οὐκ ἂν εἶεν ταῦτά; εἰδὲ τὸ ὁ Ἄρθρον, τὸ μὴ καὶ τὸ, ὅς; ὁρᾷς λογιώτατε, ὅτι οἱ παλαιοὶ οὐχ ἁπλῶς τὸ, ὅς ἐκαλέσαν Ἄρθρον ὑποτακτικόν; οὐ γὰρ ἐκ τῶν ξένων γλωσσῶν τὴν Γραμματικὴν διώρθουν, οὐδ' ηὐτοσχεδίαζον.

Σελ. κά (ι), ἡ 68. *). "Εἰς τὸ, ὁ ἐμὸς πατὴρ ὁ Ἀπολλώνιος " (Α, σελ. 66.) συνάπτει τὸ ἄρθρον μὲ τὸ, πατήρ."

Ὀρθῶς γε ποιῶν· κυρίως γὰρ τοῖς οὐσιαστικοῖς σύνεστι· δι' αὐτὰ γὰρ τὰ ἐπίθετα καὶ κατ' αὐτῶν· ὅθεν καὶ τὸ ὁ Πλάτων, ἐντελές, ἀτελὲς δὲ τὸ, ὁ φιλόσοφος· παραδέχεσθαι δὲ τὰ ἐπίθετα μετοχήν τινα ἔξωθεν διὰ τὸ Ἄρθρον, οὐκ ὀρθόν ἐστι. δυνάμει γὰρ τὰ ἔναρθρα ἐπίθετα πρότασιν ἐμφαίνει ἐξ Ὑποκειμένου καὶ Κατηγορουμένου· ὁ φιλόσοφος, ἀντὶ τοῦ, ὁ ὢν φιλόσοφος· λέγω δὲ δυνάμει, διὰ τὸ μὴ συνεπτυγμένην ταύτην εἶναι· ὅθεν καὶ ὥςπερ αἱ Μετοχαὶ εἰς βραχυλογίαν συντελοῦσιν, οὕτω καὶ τὰ ἔναρθρα τῶν ἐπιθέτων, κἀκεῖναί τε καὶ ταῦτα δυνάμενα συνεπτυγμένως καὶ ὑποκείμενα γενέσθαι καὶ κατηγορούμενα· διὸ καὶ ἡ ὢν συνδεσμικὴν χώραν ἐνταῦθα ἐπέχει, μηδόλως ὕπαρξιν ἐμφαίνουσα. εἰδὲ τοῦτο τὸ, ὁ ἀσυνέλευστον τῇ ὤν· ἄλλο γὰρ ἂν ἐδήλωσε τὸ, ὁ ὤν, κατὰ Πλάτωνα· ἔστι δὲ τὸ, ὢν φιλόσοφος ταυτὸν τῷ, φιλοσοφῶν, καὶ τὸ, ὁ ὢν φιλόσοφος τῷ, ὁ φιλοσοφῶν· ἀλλὰ μὴν τὸ, ὁ φιλοσοφῶν ταυτὸν ἦν τῷ, οὗτος, ὃς φιλοσοφεῖ· τὸ οὖν ὁ,

πατὴρ veut dire ὁ ὢν ἐμὸς πατήρ ; » car ὁ n'indique pas ici ὢν, mais bien le pronom οὗτος ; et ὁ ἐμὸς πατὴρ équivaut à ὁ πατήρ μου, parce que les pronoms possessifs peuvent être remplacés par le génitif des pronoms personnels. Comment en effet l'article pourrait-il rester dans cette phrase ὁ πατήρ μου, s'il ne se rapportait pas à πατὴρ, ἐμὸς et ὢν ayant été retranchés ?

Page κϐ' (1), ou 69, *). « Puisque les pronoms ne reçoivent « pas l'article, ils ne sont pas non plus susceptibles de la forme « superlative. »

A cette observation, comment s'empêcher de rire ? Ce n'est point en effet à l'absence de l'article qu'il faut l'attribuer. Les pronoms nous représentent des noms substantifs, qui ne sont point susceptibles de degrés en plus ou en moins ; et nous avons suffisamment prouvé que les articles n'appartiennent qu'aux noms propres. Est-il permis de dire sans ridicule : « Les parties du discours qui reçoivent l'article peuvent recevoir la forme des superlatifs. » Après s'être efforcé de prouver « que les articles se joignent aux infinitifs, aux adverbes et aux participes, » il ne reste maintenant à l'auteur qu'à nous former des superlatifs avec les infinitifs et avec les adverbes. Si les anciens, qui ont composé la grammaire grecque, eussent raisonné ainsi, ils ne nous auraient donné qu'une grammaire chimérique et contradictoire.

“ μένης μετοχῆς ὢν, ὁ ἐμὸς πατὴρ θέλει νὰ εἴπῃ ὁ ὢν “ ἐμὸς πατήρ.” οὐ γὰρ τὴν ὢν συνεφέλκεται τὸ ὁ, τὴν δὲ οὗτος· ὅθεν καὶ αἱ κτητικαὶ τῶν Ἀντωνυμιῶν εἰς γενικὴν ἐγκλινομένην ἀναλύονται· εἰδὲ τοῦτο, πῶς τὸ, ὁ μεμένηκεν ἐν τῷ ὁ πατήρ μου, τοῦ ἐμὸς ἀποστάντος, καὶ τῆς ὢν; ἢ ὅτι συνῆν τῷ πατὴρ, καὶ οὐ τῇ ὢν, οὐδὲ τῇ, ἐμός·

Σελ. κϛ′ (1), ἢ 69.*). “ Αἱ Ἀντωνυμίαι, διότι δὲν δέχονται “ ἄρθρα, διὰ τὴν αὐτὴν αἰτίαν εἶναι καὶ ὑπερθέσεως ἀνεπίδεκτοι.”

Οὐ γελᾶτε ἄνθρωποι; οὐ διὰ τοῦτο, ὦ βέλτιστε, ἀλλ' ὅτι δεῖξιν, ἢ ἀναφορὰν ἐμφαίνουσιν οὐσιαστικῶν ὀνομάτων, ἀσυνελεύστων τῷ μᾶλλον, καὶ τῷ ἧττον· οὐ γὰρ μᾶλλον ἀνθρώπους; ὁ Πλάτων, [illegible] καὶ [illegible] τὰ οὐσιαστικὰ ἐδείκνυμεν ἡμεῖς ἐπιδεκτικὰ κυρίως Ἄρθρου· πῶς τοίνυν οὐ γελοῖος λέγων, “ τὰ δεχόμενα τὸ Ἄρθρον δέχονται καὶ τὴν ὑπέρθεσιν;” διϊσχυρίζετο δ' ἀνωτέρω, ὅτι καὶ τὰ Ἀπαρέμφατα, καὶ τὰ Ἐπιῤῥήματα ἐπιδεκτικά ἐστιν Ἄρθρων· ἐνταῦθα δὲ συνάγει τὰ ἐπιδεκτικὰ τῶν Ἄρθρων καὶ τὴν ὑπέρθεσιν ἐπιδέχεσθαι· ἄρα, κατ' αὐτὸν, τὰ Ἀπαρέμφατα, καὶ τὰ Ἐπιῤῥήματα, ἕξουσιν Ὑπερθετικά· εἴπερ συνελογίζοντο οὕτω, λογιώτατε, οἱ τὴν τῶν Ἑλλήνων Γραμματικὴν συντάξαντες, τραγελαφικὴν ἂν ταύτην παρεμόρφωσαν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

ΠΕΡΙ ΟΝΟΜΑΤΟΣ.

Σελ. κϐ', στιχ. ζ' ἢ 69, 6. " Ἡ ἀμεθοδία τῆς Γραμ-
" ματικῆς φαίνεται πρὸς τούτοις καὶ εἰς τὸ Ὄνομα, τοῦ
" ὁποίου αἱ δέκα κλίσεις εἶναι δέκα πληγαί..."

Εἰ μὲν ἡ ἐλάττωσις τῶν κλίσεων, ἐλάττους καὶ τὰς τῶν ὀνομάτων καταλήξεις ἐποίει, ὀρθῶς ἂν εἶχεν αὕτη. εἰ δὲ τοῦτ' ἀδύνατον, ποῖον τὸ ἐντεῦθεν τοῖς μαθητιῶσιν ὄφελος; ἀνήνεγκον γὰρ ἂν οἱ πάλαι ταῦτα εἰς τρεῖς μόνας κλίσεις, ὅσα δηλονότι καὶ τὰ γένη ἦν, ὥσπερ καὶ τὰ μέρη τοῦ λόγου διεῖλον εἰς τρία· τὰς μέντοι κλίσεις τῶν ὀνομάτων τῇ διαφορᾷ τῶν καταλήξεων περιγράψαντες, τὰ μὲν ἀρσενικὰ μόνον τὰ εἰς ας καὶ ης τῇ πρώτῃ, τὰ δὲ ἐς α καὶ η θηλυκὰ τῇ δευτέρᾳ, τῇ δὲ τρίτῃ τὰ εἰς ος καὶ ον, τῇ τε τὰ εἰς ως, καὶ ων τετάρτῃ, καὶ τῇ πέμπτῃ τὰς διαφόρους ἔχοντα καταλήξεις· καὶ εἴπερ προὔκειτο διδάσκειν μόνον τὴν τῶν Ἰώνων διάλεκτον, περιτταὶ ἂν ἦσαν αἱ συνῃρημέναι τῶν κλίσεων, καίτοι ἁπασῶν, ὡς ἔπος εἰπεῖν, συνῃρημένων οὐ-

CHAPITRE III.

DU NOM.

Pag. 26, lig. 5, ou 69, 6. « La méthode défectueuse » de la grammaire paraît encore dans le nom, dont les » dix déclinaisons sont dix plaies pour les écoliers. »

Si en diminuant le nombre des déclinaisons, on pouvait diminuer celui des désinences des noms, on serait blâmable de ne pas le faire; mais si ce résultat est impossible à obtenir, quel serait pour les écoliers l'avantage d'une pareille diminution. Certes les anciens auraient pu ne faire que trois déclinaisons pour les trois genres de noms, s'ils l'avaient jugé à propos. S'ils eussent pu encore se borner à traiter du dialecte ionien, ils n'auraient pas eu besoin des déclinaisons contractes; parce que la contraction se trouve même dans les déclinaisons parisyllabiques. Mais ayant observé les différentes désinences des noms, ils ont attribué les masculins en ας et en ης à la première déclinaison, les féminins en α et en η à la deuxième; ceux en ος et en ον à la troisième; ceux en ως et en ων à la quatrième, et à la cinquième les noms dont les désinences au nominatif ne se ressemblent pas. Or, en suivant les désinences des noms on voit même que le

nombre de ces déclinaisons n'était pas suffisant ; plusieurs noms en υς ont le génitif en υος, en εος, ou en εως, et d'autres noms contractés en ης, qui font le vocatif en εις, au lieu de le terminer en ες, etc., sont devenus l'objet d'une déclinaison spéciale.

Pag. κγ', lig. κ', ou 70, 3. « Théodore définit les » cas par μεταϐολὴν ὀνομαστικοῦ τοῦ κατὰ τὸ τέλος. »

Théodore ne dit pas ὀνομαστικοῦ τοῦ, mais ὀνοματικοῦ του. Et il paraît que notre littérateur n'apprécie pas assez la différence qui existe entre ὀνοματικοῦ et ὀνομαστικοῦ ; dans l'édition du Πρόδρομος τῆς Ἑλληνικῆς Βιϐλιοθήκης qu'il a publiée à Paris en 1805, ainsi que dans ses improvisations publiées à Vienne en 1815, il a écrit ὀνομαστικοῦ τοῦ pour ὀνοματικοῦ του.

Dans ce passage je n'ai pas compris ce que M. Coray veut dire ; tantôt il défend Théodore, tantôt il l'accuse sur le même sujet. Théodore, suivant le système des péripatéticiens, ne voulait pas que le nominatif fût un *cas*. Ces philosophes regardaient les *cas* comme des lignes géométriques disposées différemment ; ils prenaient AB, ligne droite pour nominatif, cas propre à définir les objets ; ils nommaient obliques les lignes AΓ, AΔ, AE, AZ. Mais les stoïciens examinant le son que la voix produisait pour chaque terminaison du nom, confondaient les cinq cas sous une dénomination générique. Les argumens de part et d'autre ne sont point contradictoires. Les stoïciens ne peuvent pas nier que le nominatif ne soit propre aux définitions. Les péripatéticiens avouent que la voix se modifie à chaque

σῶν· ἐπεὶ δὲ αὗται οὐκ ἦσαν αἱ κλίσεις ἱκαναὶ συμπεριλαβεῖν ἅπαντα τὰ ὀνόματα· πλεῖστα γὰρ τῶν εἰς υς τὰ μὲν τὴν γενικὴν ἔχει εἰς υος, τὰ δὲ εἰς εος, τὰ δὲ εἰς έως, τά τε εἰς ης συνῃρημένα, ὧν ἡ κλητικὴ εἰς ες, καὶ ἄλλα, μετὰ τὰς δέκα κλίσεις ἰδίᾳ κατέταξαν.

Σελ. κγ', στιχ. κ', ἢ 70, 3. "Ὁρίζει ὁ αὐτὸς Θεόδωρος "τὴν πτῶσιν Μεταβολὴν ὀνομαστικοῦ τοῦ κατὰ τὸ τέλος."

Καὶ μὴν ὁ Θεόδωρος οὐ λέγει ὀνομαστικοῦ τοῦ, ἀλλ' ὀνοματικοῦ του· καὶ ἔοικεν ὁ ἀνὴρ βούλεται διορθοῦν τὸν Θεόδωρον, μὴ μαθὼν ὅ, τι ποτ' ἐστὶν ὄνομα, καὶ ὀνοματικὸν, καὶ ὀνομαστικόν· ἔν τε γὰρ τῷ ἐν Παρισίῳ ἐκδοθέντι τῷ αωέ τῆς βιβλιοθήκης Προδρόμῳ, κἀν τοῖς ἐν Βιέννῃ τῷ 1815 ἐκδοθεῖσι Σχεδίοις ἔγραψεν "ὀνομαστικοῦ τοῦ" ἀντὶ ὀνοματικοῦ του.

Οὐκ ἔγνων δ' ἐνταῦθα ὅ, τι βούληται λέγειν· ὁτὲ μὲν γὰρ συνηγορεῖ, ὁτὲ δὲ κατηγορεῖ τοῦ Θεοδώρου περὶ τῶν αὐτῶν· ὁ δέγε Θεόδωρος ἀντεχόμενος τῆς τῶν Περιπατητικῶν δόξης, οὐ βούλεται πτῶσιν τὴν ὀνομαστικήν· οὗτοι γὰρ ταῖς κατὰ Γεωμετρίαν γραμμαῖς παρεικάζοντες τὰς πτώσεις, ἐκάλουν τὴν μὲν ΑΒ, ἐξ ἧς ὁ ἀποφαντικὸς λόγος ἐν ταῖς προτάσεσιν, εὐθεῖαν, τὰς δὲ ΑΓ, ΑΔ, ΑΕ, ΑΖ, πλαγίας· οἱ δ' ἐκ τῆς Στοᾶς θεωροῦντες, ὡς τῆς νοήσεως προϊσχομένας τοιᾷδε, ἢ τοιᾷδε τελικῇ ἐκφωνήσει, ἁπάσας πτώσεις ἐκάλουν· οἱ μέντοι παρ' ἑκατέρων λόγοι, ὡς μὴ ἐξ ἀρχῶν τῶν αὐτῶν ὁρμώμενοι, οὐκ ἀντιπεριπετεῖς εἰσίν· ὅτι μὲν γὰρ ἡ εὐθεῖα ἰδία ἀποφαντικοῦ λόγου, οὐδ' αὐτοὶ ἔξαρνοι γένοιντ' ἂν οἱ ἐκ τῆς

Στοᾶς. ὅτι δὲ προϊμένης τῆς φωνῆς, διαφόρου ταύτης ἀντιλαμβανόμεθα κατὰ τὰ τέλη τοῦ ὀνόματος, οὐκ ἂν οἱ ἐκ τοῦ περιπάτου ἀντίποιεν· διαφόρως γὰρ διατίθεται ἡ φωνὴ ἐν τῇ προφορᾷ τοῦ ος, καὶ τοῦ ου, καὶ τοῦ ῳ· ᾧ λόγῳ συνέβαινε καὶ τὴν κλητικὴν μᾶλλον πτῶσιν γίνεσθαι, ἢ ὀρθήν· μεταβάλει γὰρ πολλάκις καὶ φωνήεντα, Δημοσθένης, ὦ Δημόσθενες, ἀποβάλλει δὲ καὶ σύμφωνα, ἄναξ, ὦ ἄνα, τῇ εὐθείᾳ οὐ παρεγχωροῦντος τούτου, μενούσῃ ἀτρέπτῳ· καὶ οὕτω ἄμφω τὼ λόγω καθίστασθον.

Σελ. κδ', στιχ. θ', ἢ 70, 18. "Εὐφυῶς τὸ παρετήρησεν ὁ φιλόσοφος Γραμματικὸς Ἀπολλώνιος, ἡ σύνταξις αὐτῆς μὲ τὸ ῥῆμα, καθὼς καὶ ἡ σύνταξις τῆς ὀνομαστικῆς, δὲν φανερόνει παρὰ ἓν μόνον πρόσωπον."

Οὐ δῆτα τῆς Κλητικῆς· ἡ γὰρ κατὰ πρόσταξιν σύνταξις διττὰ πρόσωπα ἐμφαίνει· οὐ γὰρ ἂν συσταίη καθ' ἑαυτὸ τὸ, Τρύφων ἀναγίνωσκε, ταὐτὸν ὂν τῷ ἐπιτάττω σοὶ τῷ Τρύφωνι ἀναγινώσκειν.

Στιχ. ιγ', ἢ 21. "Ὁπόταν ἡ σύνταξις τῶν τριῶν γνησίων πτώσεων, ἐμφανίζει ἀναγκαίως δύο πρόσωπα."

Οὐκ ἀναγκαίως· ἡ γὰρ τοῦ μέλλει μοι, δοκεῖ μοι, ἓν πρόσωπον ἐμφαίνει· ἀλλὰ καὶ ἐν τῇ ἀντιμεταβατικῇ συντάξει τὸ ἐκ πρώτου ταὐτόν ἐστι τῷ ἐκ τρίτου· νίπτω ἐμαυτὸν, καὶ ἔγειρε σεαυτόν.

terminaison ; car le son du ος n'est pas celui du ου, ni celui du ω ; et sous ce point de vue, le vocatif ressemble à une ligne oblique plutôt qu'à une droite, puisqu'il change de voyelle : Δημοσθένης, ὦ Δημόσθενες, et qu'il retranche des consonnes, Ἄναξ, ὦ ἄνα, tandis que le nominatif est invariable; de sorte que si les péripatéticiens avaient raison, les stoïciens n'avaient pas tort ; la discussion ne roulant pas sur un seul et même point.

Pag. κδ', lig. θ', ou 70, 18. « Le grammairien « Apollonius a observé avec raison que le vocatif et le « nominatif, joints au verbe, n'indiquent qu'une seule « personne. »

Le vocatif joint au verbe indique nécessairement deux personnes ; car la phrase : Τρύφων ἀναγίνωσκε, veut dire : (ἐγὼ) ἐπιτάττω σοὶ τῷ Τρύφωνι ἀναγινώσκειν.

Lig. ιγ', ou 21. « Tandis que les trois cas obliques, » joints au verbe, représentent deux personnes. »

Et pourquoi donc les verbes impersonnels se construisent-ils avec une seule personne : μέλει μοι, δοκεῖ σοι; ainsi que dans les verbes réfléchis : τύπτω ἐμαυτὸν, ἔγειρε σεαυτόν ?

CHAPITRE IV.

DU VERBE.

Lig. ιε′, ou 24. « Le verbe que l'on a divisé en » treize conjugaisons n'offre pas moins de difficultés. »

En se contentant des ultièmes ω, μι des verbes grecs on n'aurait besoin que de deux conjugaisons : il serait inutile de distinguer les verbes barytons des contractes ; puisque même dans les barytons on trouve des temps contractés : φυγεῖν, κτανεῖν aoristes seconds, ainsi que les seconds futurs, sont contractés de φυγέειν κτανέειν ; mais les désinences ω, μι, ne sont point suffisantes pour fixer le nombre des conjugaisons.

Lig. κα′, ou 29. « S'il est absurde de distinguer la « déclinaison des noms Χρύσης, Ἡμέρα de celle « d'Ἑρμῆς et d'Ἀθηνᾶ ; il ne l'est pas moins de séparer « la conjugaison des verbes ἀκούω, ἀνύω, de celle de « ποιέω. »

Il est bien plus absurde pour un écrivain qui traite de la grammaire pratique, qui introduit les élèves dans la connaissance des auteurs, de s'appuyer sur un raisonnement si peu concluant.

ΚΕΦΑΛΑΙΟΝ Δ.

ΠΕΡΙ ΡΗΜΑΤΟΣ.

Στιχ. ιέ, ἡ 24. "Δὲν εἶναι ὀλιγώτεραι αἱ δυσκολίαι "τοῦ Ῥήματος, τὸ ὁποῖον κατεκερματίσθη εἰς ιγ' συ-"ζυγίας."

Διάγε τὴν ἁπλῶς λήγουσαν τῶν Ῥημάτων, δύο μόνον ἤρκουν, ἡ εἰς ω καὶ μι· οὔτ' ἀναγκαῖον ἦν διαστεῖλαι τὰς βαρυτόνους τῶν περισπωμένων· οἱ γὰρ δεύτεροι Μέλλοντες τῆς ὁριστικῆς καὶ οἱ δεύτεροι τῶν Ἀπαρεμφάτων Ἀόριστοι συνήρηνται. φυγέειν γὰρ καὶ κτανέειν· ἀλλ' ἡ λήγουσα μόνη οὐκ ἤρκει πρὸς τὴν τῶν Συζυγιῶν διαστολήν.

Στιχ. κα', ἡ 29. "Καθὼς λοιπὸν ἄλογον ἤθελεν εἶσθαι "νὰ χωρισθῶσιν ἀπὸ τὸ Χρύσης καὶ Ἡμέρα τὰ ὀνόματα "Ἑρμῆς, Ἀθηνᾶ, τῆς αὐτῆς ἀλογίας εἶναι καὶ τὸ νὰ χω-"ρισθῇ ἀπὸ τὸ ἀκούω καὶ ἀνύω τῆς ἕκτης, τὸ ποιέω."

Μεγίστης ἀλογίας νὴ Δία τὸ συλλογίζεσθαι οὕτω τὸν προσποιούμενον εἰδέναι τὸ πρακτικὸν τῆς Γραμματικῆς, δι' οὗ εἰς τὴν γνῶσιν τῶν συγγραφέων οἱ μαθητιῶντες εἰσάγονται.

Στιχ. κς', ἡ 34. "Μὲ τὰ ὁποῖα ἔχει κοινὸν τὸ σ τοῦ
" Μέλλοντος· Ἀλλὰ τὸ χαρακτηριστικὸν τοῦτο σ εὑρίσ-
" κεται καὶ εἰς τὰς λοιπὰς βαρυτόνους· ἐπειδὴ τί ἄλλο
" εἶναι τὸ ψ παρὰ τὸ βσ, πσ, φσ, καὶ τὸ ξ παρὰ γσ,
" κσ, χσ; ὅλαι λοιπὸν αἱ βαρύτονοι εἰς βω, πω, φω, ω,
" καὶ περισπώμεναι εἰς έω, άω, όω, εἶναι μία καὶ ἡ αὐτὴ
" συζυγία."

Τί λέγει; ἀλλ' ἐὰν τὰ εἰς ω καθαρὸν βαρύτονα, καὶ ἅπαντα τὰ περισπώμενα ἔχουσι κοινὸν τὸ σ ἐν τῷ Μέλλοντι, καὶ εἰ τὸ σ ἔνεστι τῷ ξ καὶ ψ, πῶς ὅλαι αἱ βαρύτονοί εἰσιν εἰς βω, πω, φω, ω; τί δέ; αἱ εἰς γω, κω, χω, κτω, σσω, ττω, ζω, δω, θω, τω, ξω, ψω, οὐκ εἰσὶ βαρύτονοι; εἶεν.

Ἔστω λήγουσα εἰς σω, Μέλλοντος, πῶς ἂν ὁ ταλαίπωρος μαθητὴς εὕροι, εἴπερ ὁ Μέλλων οὗτος εἴη, ἢ τῶν βαρυτόνων, ἢ τῶν περισπωμένων, ἢ τῶν εἰς μι; ἅπασαι γὰρ αὗται εἰς σω τὸν Μέλλοντα ἔχουσιν· ἀνάγκη ἄρα πᾶσα προθεῖναι καί τι φωνῆεν τῆς σω· μάλιστα δὲ προειδέναι, ὅτι ἡ μὲν πρώτη τῶν βαρυτόνων ἔχει βω, πω, φω, πτω, ὧν ὁ Μέλλων διὰ τοῦ ψ· ἡ δὲ β', γω, κω, χω, κτω, ὧν ὁ Μέλλον ἔχει τὸ ξ· ἡ δὲ γ', δω, θω, τω, ὄντος τῷ Μέλλοντι τοῦ σ, καὶ περὶ τῶν λοιπῶν ὁμοίως· ἐχρῆν δὲ καὶ παραδείγμασι δηλῶσαι, διὰ τὰ εἰς ζω, ττω, ὧν τινὰ μὲν ἔχει ξ, τινὰ δὲ σ· αἱ δέ γε τῶν περισπωμένων εἰσὶν εἰς έσω, ήσω, άσω, ώσω, όσω· τούτων δ' ἐγνωσμένων, εὐχερῶς ὁ μαθητιῶν εὑρήσει τὸν ἐνεστῶτα· φανερὸν δ' ὅτι καὶ ἡ εἰς ἓξ διαίρεσις τῶν Συζυγιῶν οὐκ ἄλογός ἐστι· τῶν γὰρ τριῶν μέσων γραμμάτων τῶν β, γ, δ, προσλαβὸν

Lig. κϛʹ, ou 34. « Le futur de tous ces verbes a » pour consonne caractéristique le σ. Or σ se trouve » encore dans les autres verbes barytons, puisque ψ » n'est que βσ, πσ, φσ; et que ξ se compose de γσ, » χσ, χσ; ainsi toutes les conjugaisons barytons en » βω, πω, φω, ῶ, et tous les circonflèxes en έω, άω, » όω, se rapportent à une seule conjugaison. »

Mais n'y a-t-il que les verbes en ω pur, contractes ou non, dont le futur est en σ, et les verbes en βω, πω, φω, dont le futur est en ψ, qui soient barytons? Pourquoi oublier dans ce raisonnement incomplet les verbes en γω, κω, χω, κτω, σσω, ττω, ζω, δῶ, θω, τω, ξω, ψω? N'importe.

La désinence en σω d'un futur étant donnée, comment l'élève trouvera-t-il si ce futur appartient à un verbe baryton, à un circonflèxe ou à un verbe en μι? car les futurs de tous ces verbes se forment en σω. Ne serait-il pas essentiel de faire précéder σω de quelque voyelle pour déterminer le verbe? Or, si l'élève savait que βω, πω, φω, πτω appartiennent à la première conjugaison, dont le futur est ψώ; que γῶ, κω, χω, κτω appartiennent à la deuxième, dont le futur a le ξ; et que les désinences en δω, θω, τω sont de la troisième, dont le futur a le σ, etc., il distinguerait facilement chaque verbe. Il faudrait encore ajouter quelques exemples pour les verbes en ζω, ττω, dont le futur reçoit ξ ou σ, ainsi que pour les contractes qui ont le futur en έσω, ήσω, άσω, όσω, ou ώσω. On reconnaîtra donc sans peine que la division des barytons en six conjugaisons est bien fondée; car les lettres *moyennes* β, γ, δ

accompagnées de leurs *aspirées* et de leurs *non aspirées* correspondantes, nous donnent trois conjugaisons; la quatrième a ζ et σσ; la cinquième les quatre liquides, et la sixième les verbes en ω pur, dont la pénultième a ι, υ, ou les dipthongues, et qui, ne recevant pas la contraction, se distingue ainsi des verbes en άω, έω, όω.

Prenons encore pour exemples des imparfaits qui aient l'une des désinences ουν, εις, ει, ους, ου, ων, ας, α; comment s'appliqueront-elles à la désinence ον, ες, ε des verbes barytons; ou à ην, υς, ων celles des verbes en μι? Comment, pour les infinitifs, les désinences ειν, ᾷν, οῦν, άναι, όναι, έναι, εῖναι, οῦναι, et celles des autres temps de chaque mode, pourraient-elles être représentées par une seule conjugaison? Quel chaos et quelle confusion pour les pauvres élèves! Si j'écrivais une grammaire pour les enfans des Hellènes, je suivrais le système des anciens, parce que leur division des conjugaisons est conforme à celle des consonnes.

Page κέ (1), ou 71, *). « La conjugaison des verbes en μι, « n'est qu'une forme différente applicable à toutes le autres « conjugaisons. »

Cette observation est trop généralisée, car, d'après les règles grammaticales données par les péripatéticiens, et par les stoïciens, les verbes en άω, έω, όω, είω, ύω, peuvent seuls recevoir la terminaison en μι: ἱστάω, ἵσταμι, ἵστημι; τιθέω, τίθεμι, τίθημι, etc. Cette formation ne peut dériver des verbes en αύω, εύω, ούω; on ne dit pas: βασιλεῦμι, ἀκοῦμι, etc. Il en est de même

ἕκαστον τὸ ἀντιστοιχοῦν αὐτῷ ψιλὸν καὶ δασὺ, τὰς τρεῖς Συζυγίας εὐλόγως ἀποτελεῖ· ἥ τε τετάρτη προσλαβοῦσα τὰ συγγενῆ ζ καὶ σσ, ὀρθῶς εἶχε, τῆς πέμπτης λαβούσης τὰ ἀμετάβολα· ἡδὲ εἰς ω καθαρὸν ἕκτη, τῶν πρὸ τοῦ ω φωνηέντων ι, υ, καὶ τῶν διφθόγγων μὴ δυναμένων συναιρεῖσθαι, ἀναγκαίως τοῖς μανθάνουσι διακρίνεται τῶν Συνῃρημένων.

Τεθείσθων πάλιν παρατατικῶν λήγουσαι, ουν, εις, ει, οὺς, οὺ, ὼν, ᾶς, α· πῶς αὗται ἐφαρμοσθήσονται ταῖς ον, ες, ε, τῶν βαρυτόνων, ἢ τῶν ην, υς, ων εἰς μι; ἢ πῶς τὰ Απαρέμφατα ειν, ᾶν, οῦν, ἀναι, εναι, οναι, εῖναι, καὶ αἱ ἄλλαι ἀνομοιότητες τῶν λοιπῶν χρόνων καὶ ἐγκλίσεων εὐκρινεῖς ἂν εἶεν μιᾷ τινι Συζυγίᾳ συμπεριληφθεῖσαι; ἡλίκης ἀλογίας τὸ συμμιγνύειν τὰ ἀσύμμικτα· ὅσον " ταράτ- " τεις τὸν νοῦν τῶν Αρχαρίων· " καὶ νὴ Δίαγ' εἴπερ τοῖς Ἕλλησι Γραμματικὴν ἔγραφον, διεῖλον ἂν τὰς Συζυγίας, ὥςπερ οἱ πάλαι, διὰ τὸ τὴν διαίρεσιν συνᾴδειν τῇ τῶν συγγενῶν Συμφώνων·

Σελ. κέ (1), ἢ 71, *) " Ἄλλο δὲν εἶναι ἡ εἰς μι παρὰ πάθος κοι- " νὸν καὶ σχηματισμὸς ὅλων τῶν ἄλλων Συζυγιῶν. "

Ἰστέον δ' ὅτι κατὰ τὴν κανονισθεῖσαν Γραμματικὴν τοῖς Περιπατητικοῖς τε καὶ Στωϊκοῖς μόνον ἐκ τῶν εἰς, άω, έω, όω, ύω, είω, εἰς μι σχηματίζεται ῥήματα· ἱστάω, ἵσταμι, καὶ ἵστημι· τιθέω, τίθεμι, καὶ τίθημι· εἰδὲ τὸ ω οὐ καθαρεύει, παραληγούσης τε διφθόγγου τῆς αυ, ευ, ου, ἀσύστατος ὁ εἰς μι σχηματισμός· οὐ γὰρ ἂν ἐκ τοῦ λέγω συσταθείη τὸ λέγμι· οὐδὲ τὸ, βασι-

λεῦμι, ἀκοῦμι· τά τε παρὰ Βοιωτοῖς διφθογγογραφούμενα ἐκ συναιρέσεως ἐσχημάτισται· οἷα τὰ εἰμὶ, καὶ τὰ παρ' Αἰολεῦσι, γέλαιμι, δίζημι, φέρημι· γελάω γὰρ καὶ φορέω, καὶ διζείω.

Κατωτέρω, " ἡ κοινὴ γλῶσσα ἐφύλαξεν ἴχνη τοῖς παλαιοτάτης " Συζυγίας εἰς πολλὰς Μετοχάς· ἐρχάμενος, λεγάμενος, φοβιζά- " μενος· "

Ἀλλὰ καὶ ἐν πολλοῖς ῥήμασιν· οἱ γὰρ κάτοικοι τῶν πέριξ τοῦ Ἄθωνος, καὶ λέγημι, καὶ θέλημι, καὶ τρέχημι, λέγουσι, κ. τ. λ. οὐχὶ μέντοι φοβίζημι· τὸ δὲ μὴ φοβίζα τῶν ἐν Θεσσαλονίκῃ ἑλληνιζόντων Ἑβραίων ἐστί· φαίνονται ἄρα καὶ οἱ ἐν Ἀμστελοδάμῳ λέγοντες τοῦτο, ἐξ οὗ καὶ τὸ φοβιζάμενος παρῆκται.

Σελ. κϛ', στιχ. ιγ', 72, 4. " Δὲν λέγω τίποτε περὶ " τῆς τεχνολογίας τῶν χρόνων, περὶ τῆς ὀνομασίας αὐτῶν, " ἂν καὶ εἰς αὐτὰς θεωρῆται μεγάλη σύγχυσις."

Κάκιστα σύγε ποιῶν· ἐξήλεγχες γὰρ ἂν καὶ Πλάτωνας, καὶ Περιπατητικοὺς, καὶ Στωϊκοὺς ἀμαθεῖς ὄνταις καὶ τῆς γλώσσης αὐτῶν καὶ τῆς Γραμματικῆς· οὗτοι γὰρ τὴν τοῦ Ἑλληνισμοῦ διορθωσάμενοι Γραμματικὴν, τοὺς χρόνους τῶν Ῥημάτων διωρίσαντο· ἀλλ' ἔοικας οὐδὲν ἐπαΐων, οὔτε περὶ ταύτης, οὔτε περὶ τῶν χρόνων· εἴπωμεν δὲ ἡμεῖς περί τε τῆς σημασίας καὶ τῆς χρήσεως αὐτῶν, συνηγοροῦντες τοῖς τύπου Γραμματικῆς τοῦ ἀρίστου δεδωκόσι τοῖς ἐπιγινομένοις ἔθνεσι.

pour les verbes en ω précédé d'une consonne ; on ne dit pas : λέγμι, de λέγω. Les désinences béotiennes en ειμι sont aussi formées par contraction des verbes en έω ; et les Eoliens disaient γέλαιμι, δζημι, φέρημι, etc., de γελάω, φορέω; διζείω.

Plus bas : « La langue commune a conservé quelques traces « de cette ancienne conjugaison dans plusieurs participes ἐρχάμενος, λεγάμεν, φοβιζάμενος. »

Il est vrai que les habitans du mont Athos ont conservé même des verbes en μι : λέγημι, θέλημι, τρέχημι· βλέπημι. Mais ce sont les juifs de Salonique qui disent μὴ φοβίζα ; il paraît que ceux d'Amsterdam le disent aussi, et que c'est par suite de ses relations avec eux que l'auteur des improvisations a formé le participe φοβιζάμενος.

Pag. κϛ', ιγ', ou 72, 4. « Je ne parle point des » temps, ni de leur signification, quoiqu'ils soient très- » confondus. »

Vous avez tort de vous arrêter en si beau chemin : vous nous auriez montré sans doute que Platon, les péripatéticiens et les stoïciens, qui ont fixé la grammaire, et qui ont précisé la signification des temps, n'étaient que des ignorans. Mais puisque vous gardez le silence, à cet égard, soit ignorance, soit incapacité de démêler la vérité à travers la confusion que vous prétendez exister, permettez-nous de prouver la signification des temps des verbes, et de défendre contre vos insinuations la cause de nos grands génies.

Signification des temps primitifs.

Ενεστώς.

Ce temps exprime un action incomplète, dont ou s'occupe, en le prononçant. De façon que prononcer ce temps et agir sont deux choses simultanées et inséparables : ἀνασκευάζω τὰ Σχέδια, j'agis quand je dis ces mots, sans achever l'action qu'ils expriment. Les poètes et les orateurs l'emploient de préférence dans leurs descriptions ou leurs narrations, pour rendre plus vive l'image des actions passées, en feignant qu'elles se font au moment même du récit. De façon que ἐνεστὼς correspond exactement à la signification de temps *présent*.

Παρακείμενος.

Lorsque dans la réfutation de ces paradoxes improvisés, je serai arrivé à la fin de mon sujet, je pourrai dire : ἀνεσκεύακα τὰ Σχέδια ; car le parfait παρακείμενος, tient au présent ἐνεστώς par une liaison immédiate. C'est pourquoi nous l'appelons παρακείμενος, de παρὰ *près* et de κεῖται, *placé* ; il indique l'accomplissement de l'action du *présent*, comme le grammairien Apollonius l'affirme dans cette phrase : *ce temps marque une action qui vient d'être accomplie*. Hé bien, le nom en est-il inexact ? ou la signification fautive ?

Quelques grammairiens pensent que le parfait indique une action dont le résultat existe encore. Mais le

§ Α′ Σημασία τῶν χρόνων, καὶ πρῶτον περὶ τῶν Ἀρκτικῶν· Ἐνεστώς.

Σημαίνει οὖν ὁ Ἐνεστὼς γιγνόμενόν τι, καθ' ὃν χρόνον ἀποφαίνεταί τις, ὥστε τὸ γίνεσθαί τι καὶ ἀποφαίνεσθαί τινα ταὐτοχρόνως ἄμφω συμβαίνειν; ἀνασκευάζω τὰ σχέδια· περὶ τὴν ἀνασκευὴν γὰρ καταγινόμενος, λέγω τοῦτο, μήπω τετελεσμένην· διὸ καὶ ἐν ταῖς Διατυπώσεσιν οἵτε ποιηταὶ καὶ οἱ ῥήτορες τὰ παρελθόντα κατ' ἐνεστῶτα διηγοῦνται, ὑπ' ὄψιν ἄγοντες, ὡς δῆθεν γιγνόμενα, καθ' ὃν ἐκεῖνοι χρόνον λαλοῦσι.

Παρακείμενος.

Ἀνασκευάζων δὲ ταῦτα, καὶ κατὰ τὸ τέλος τοῦ ἔργου γενόμενος, αὐτίκα τετελεσμένου, ἐρῶ, ἀνεσκεύακα ταῦτα· ὥστε μηδένα χρόνον παρεμπίπτειν μεταξὺ ἐνεστῶτος καὶ παρακειμένου, ἀλλὰ τὸν τούτου χρόνον τέλος εἶναι τοῦ ἐνεστῶτος· ὅθεν καὶ παρακείμενος ἤκουσεν, ὡς πλησίον καὶ συντελεστικὸς τούτου ὤν· περὶ οὗ καὶ Ἀπολλώνιος ταῦτά φησι, τὸ ἅμα νοήματι ἡνυσμένον δὶ αὐτοῦ νοεῖται· ἢ οὔ σοι δοκεῖ καλῶς ὀνομάζεσθαι παρακείμενος;

Οἱ δὲ λέγοντες τὸν παρακείμενον, δηλοῦν ἀποτέλεσμά τι ὑπάρχον ἔτι, οὔ μοι δοκοῦσιν ὀρθῶς λέγειν· δυνατὸν γὰρ

τὴν οἰκοδομὴν ὑπάρχειν, ἀποτέλεσμα τοῦ οἰκοδομῆσαι κατ' ἀόριστον, καὶ μὴ ὑπάρχειν ἀποτέλεσμα ἐπὶ τῶν μὴ πεφυκότων παράγειν τι ὑπαρκτόν· οἷον, τοῦ τέτυφα ἢ ἔτυψα οὐ παραμενεῖ δήπου ἡ τύψις· προσχρώμεθα μέντοι τῷ παρακειμένῳ καὶ περὶ τῶν πάλαι γεγονότων, τὸ αὐτίκα πεπρᾶχθαι βουλούμενοι δηλῶσαι· φαμὲν γὰρ παροιμιωδῶς, ὑπὲρ τὰ ἐσκαμμένα ἅλλεται· καὶ γὰρ μετὰ τὴν σκάψιν τῆς τάφρου τὸ ἅλμα γίνεται· καὶ ὁ πρῶτος εἰπὼν τοῦτο, παρακείμενον χρόνον ἐδήλωσεν· οἱ δὲ παραδεξάμενοι τὸ λεχθὲν, λέγουσιν, ὥςπερ τὸ πρῶτον ἐλέχθη· ἀλλὰ ταυτὶ οὐ τὴν σημασίαν τοῦ παρακειμένου ἀναιρεῖ. Ὅτι δὲ ὁ παρακείμενος τὸν αὐτίκα μετὰ τὸν ἐνεστῶτα χρόνον δηλοῖ, μαρτυρεῖ καὶ ἡ κατ' Ἀπαρέμφατον χρῆσις τῶν Συγγραφέων, ἐπὶ τῶν αὐτίκα γεννησομένων τούτῳ χρωμένων· οἷον Δημοσθένης ἐν τῷ περὶ Στεφάνου· κινδυνεύεις δὲ, εἴτε δεῖ σε ἔτι τοῦτο ποιεῖν, εἴτε ἤδη πεπαῦσθαι· ὅ ἐστι, κινδυνεύεις περὶ τοῦ εἰ δεῖ σε ἔτι ζῆν, ἢ αὐτίκα τεθνάναι· κἀντῷ κατὰ Φιλίππου α'· ταῦτα μέν ἐστιν, ἃ πᾶσι δεδόχθαι φημὶ δεῖν· ἔνθα τὸ δεδόχθαι ἀντὶ τοῦ αὐτίκα ψηφίσασθαι εἴρηται.

Ἐπιστήσειε δ' ἄντις κἀκείνῳ, ὅτι ποτὲ τῷ τῆς Μετοχῆς παρακειμένῳ χρώμεθα ὀνοματικῶς, λέγοντες, τοῖς γεγραμμένοις, τὰ πεπραγμένα, τὰ συνειθισμένα, οὐχὶ δὲ τῷ ἐνεστῶτι, ἢ τῷ Ἀορίστῳ· καὶ μήτοιγε τοῦτ' ἦν τὸ ἀποτέλεσμα, ὅπερ ἀνωτέρω ἐξηλέγχομεν; ἔστι δὲ πρὸς ταῦτ' ἀπαντῆσαι τὸ τὸν μὲν ἐνεστῶτα ἀτελές τι δηλοῦντα, τὸν δὲ Ἀόριστον τὸ ἅπαξ, ὡς ῥηθήσεται κατωτέρω, παρα-

résultat d'une action marquée par l'aoriste, ne peut-il pas exister encore? ᾠκοδόμησα τὸν οἶκον? Faut-il dans ce cas regarder τύψις comme résultat de τέτυφα, ou de ἔτυψα? N'est-il pas des actions, dont le résultat n'existe que le temps de l'action? On ne peut le contester, nous employons le παρακείμενος pour rendre des actions achevées depuis long-temps; ainsi nous disons proverbialement ἅλλεται ὑπὲρ τὰ σκαμμένα; car dans nos exercices gymnastiques, après avoir creusé un fossé, on cherche à le franchir; or, celui qui, pour la première fois, a dit ce proverbe, s'est aussi servi du parfait; et ceux qui l'emploient aujourd'hui ne font que le répéter tel qu'il a été reçu. Cependant de semblables locutions, loin de s'opposer à la signification de παρακείμενος, la confirment encore. Les preuves que l'on peut tirer des auteurs qui l'emploient à l'infinitif pour des choses qui doivent avoir lieu aussitôt, attestent cette signification; Démosthènes, dans son discours de la couronne, dit : κινδυνεύεις δὲ, εἴτε δεῖ σε ἔτι τοῦτο ποιεῖν, εἴτε ἤδη πεπαῦσθαι; ce qui veut dire : *il s'agit de savoir si tu dois réussir dans tes desseins, ou si tu dois succomber à l'instant.* Et dans la première philippique : ἃ πᾶσι δεδόχθαι φημὶ δεῖν, c'est-à-dire, *il faut décider la chose aussitôt.* Peut-être, demandera-t-on, pourquoi à la place des adjectifs, nous employons le participe du παρακείμενος, τὰ πεπραγμένα, τοῖς γεγραμμένοις, τὰ συνειθισμένα, et non celui du présent, ou de l'aoriste? N'est-ce pas, dira-t-on, que le résultat de ce temps existe encore? Je réponds que l'action du présent est imparfaite, et que celle de l'aoriste est bien pas-

sée ; mais n'a eu lieu qu'une fois. Or, comme παρακείμενος est un présent parfait et qu'il rapproche de nous le passé, on le prend pour adjectif, et une foule de noms en dérivent, tandis qu'il y en a très-peu qui dérivent des autres temps.

FUTUR 1er.

Ce temps désigne une action qui est encore à faire. Hécube, dans Euripide, dit avec raison à Polymnestor :

Οὔπω δέδωκας, ἀλλ' ἴσως δώσεις δίκην·

Par le mot δέδωκας elle exprime qu'il n'était pas puni jusqu'au moment où elle parlait. Par le mot δώσεις, elle indique la punition qu'il doit subir ; et certes M. Coray ne m'objectera pas que le terme μέλλων est mal employé pour désigner l'avenir. Il est vrai qu'on ne peut guère fixer l'époque où une action aura lieu, à cause de l'incertitude de l'avenir ; néanmoins, pour marquer une action qui ne tardera pas à être exécutée, nous ajoutons à ce temps αὐτίκα, ou quelque autre particule équivalente, et même quelquefois nous employons ἔσομαι avec le participe du parfait : αὐτίκα λέξω, ou ἔσομαι πεποιηκώς. Dans la voix passive, nous nous servons du paulopòst futur, qui pour l'avenir se rapporte au présent, comme le parfait pour le passé ; aussi le paulopòst futur reçoit-il le redoublement du parfait.

FUTUR 2e.

D'anciens grammairiens pensent que ce temps est plus près du présent que le premier futur, mais moins que le

χωρῆσαι τῷ παρακειμένῳ τὴν τοιάνδε χρῆσιν, ἐμφαίνοντι τὸ τοῦ ἐνεστῶτος τέλειον. ἐμφαντικώτερος γὰρ ὁ τέλειος ἐνεστὼς εἰς παράστασιν ὀνοματικὴν τῶν πραχθέντων, ᾗ καὶ πλεῖστα ὀνόματα ἐξ αὐτοῦ παράγεται, τοῖς ἄλλοις τῶν χρόνων ὡς ἐλάχιστα τούτου παρασυμβαίνοντος.

ΜΕΛΛΩΝ Α'

Οὗτος ὁ χρόνος τὸ μήπω γεγονὸς δηλοῖ. ὅθεν καὶ ἄριστα ἡ Ἑκάβη πρὸς τὸν Πολυμήστορα ἔφη τὸ,

Οὔπω δέδωκας, ἀλλ' ἴσως δώσεις δίκην,

Δηλοῦσα τὸ ἀκριβὲς τοῦ κατ' ἐνεστῶτα παρῳχηκότος διὰ τοῦ δέδωκας· τὸ δὲ μή πω γεγονὸς διὰ τοῦ δώσεις. Ὅτι μὲν ὀρθῶς εἴρηται μέλλων, οὐκ ἀντερεῖς, οἶμαι. ὅτι δ' ἀδύνατον ἐπ' ἀκριβὲς διορίσασθαι τὸν χρόνον, εὔδηλον· ἄδηλον γὰρ τὸ μέλλον τοῖς πᾶσι καὶ εἴρηται, καὶ ἐστίν· ὅτε μέντοι ὅσον οὔπω δηλῶσαί τι γενησόμενον βουλόμεθα, ἐπὶ μὲν τῶν ἐνεργητικῶν συνάπτομεν αὐτῷ τὸ αὐτίκα, ἢ ἕτερόν τι μόριον ἰσοδύναμον, ἢ ἐσθ' ὅτε τὸν παρακείμενον τῆς Μεταχῆς, τῷ ἔσομαι· οἷον, αὐτίκα λέξω, ἢ πεποιηκὼς ἔσομαι. ἐπὶ δέγε τῶν παθητικῶν τῷ καλουμένῳ μετ' ὀλίγον Μέλλοντι χρώμεθα, ὃς λόγον ἔχει τοῦ Μέλλοντος πρὸς τὸν Ἐνεστῶτα, ὃν καὶ ὁ παρακείμενος τοῦ παρῳχηκότος, διὸ καὶ τὸν ἀναδιπλασιασμὸν αὐτοῦ λαμβάνει.

ΜΕΛΛΩΝ Β'.

Τοῦτόν φασί τινες τῶν πάλαι ἐγγύτερον τῷ ἐνεστῶτι εἶναι· ἀπὸ γὰρ τοῦ Ἐνεστῶτος ἐπὶ τὸν Μετ' ὀλίγον,

ἀπὸ δὲ τούτου, ἐπὶ τὸν δεύτερον Μέλλοντα, καὶ εἶτα ἐπὶ τὸν ά, ὃς γενικώτατος ὢν, συμπεριείληφε τοὺς ἄλλους Μέλλοντας, καθάπερ καὶ ὁ πρῶτος Ἀόριστος τὸ παρελθόν· διὸ καὶ Πολυξένη ἔφη, παρ' Εὐριπίδῃ·

Δούλη θανοῦμαι, πατρὸς οὖσ' ἐλευθέρου·

τὸ μετ' οὐ πολὺ δηλονότι· Ἀλλὰ καὶ Οἰδίπους ὁ Τύραννος παρὰ Σοφοκλεῖ, εἰπὼν, ἀλλ' ὡς τάχιστα παῖδες, ἐπήγαγεν,

. . . . . ἢ γὰρ εὐτυχεῖς
Ξὺν θεῷ φανούμεθα, ἢ πεπτωκότες,

τὰ οὐκ εἰς μακρὰν ἐδήλωσε· καὶ Στιχ. 265 εἴρηκεν·

Ὑπερμαχοῦμαι, κἀπὶ πάντ' ἀφίξομαι·

Ἀλλὰ καὶ Στιχ. 235 προὔθηκε τὸν δεύτερον τοῦ πρώτου

Κέρδος τελῶ 'γὼ, χ' ἡ χάρις προσκείσεται·

Συνηγορεῖ δ' αὐτοῖς τὸ τοὺς τοιούσδε Μέλλοντας ἀπ' Ἐνεστώτων τὰς ἀφορμὰς ἔχειν· τὸ γὰρ τυπῶ, εἰς Ἐνεστῶτα ληφθὲν τυπήσω Μέλλοντα, καὶ τὸ τελῶ, τελέσω ποιήσει, ὅ τε Ὅμηρος τοὺς τοιούσδ' Ἐνεστῶτας ἐπὶ πράγματος ἐσομένου λαμβάνων, ὡς τὸ,

Οὐθὴν Ἕκτορι πάντα νοήματα μητιέτα Ζεὺς
Ἐκτελέει, ὅσα που νῦν ἔλπεται. Ἰλ. Κ. 104.

Τὸ μέντοι ὑφ' Ἕκτορος ὑποσχεθὲν τῷ Δόλωνι, 330

Μὴ μὲν τοῖς ἵπποισιν ἀνὴρ ἐποχήσεται ἄλλος
Τρώων, ἀλλά σέ φημι διαμπερὲς ἀγλαϊεῖσθαι,

paulopòst futur. Ils regardent le premier futur comme un temps générique de l'avenir, de la même manière que l'aoriste est le temps générique du passé. Ainsi Polixène dit, dans Euripide, en se servant du deuxième futur :

Δούλη θανοῦμαι, πατρὸς οὖσ' ἐλευθέρου·

comme devant mourir sur l'heure. Et Œdipe roi, dans Sophocle, après avoir dit : ἀλλ' ὡς τάχιστα παῖδες, ajoute :

. . . . . ἢ γὰρ εὐτυχεῖς
Ξὺν θεῷ φανούμεθα, ἢ πεπτωκότες,

pour marquer un malheur ou un bonheur immédiat ; et vers 265 :

Ὑπερμαχοῦμαι, κἀπὶ πάντ' ἀφίξομαι·

Dans ce vers, ainsi que dans le suivant, le deuxième futur est avant le premier.

Κέρδος τελῶ 'γὼ, χ' ἡ χάρις προσκείσεται. 235.

L'argument de ces grammairiens est fondé sur ce que le futur second se confond avec le présent : τυπῶ, fait τυπήσω, et τελῶ, τελέσω, pour le futur ; et, sur ce qu'Homère emploie des présens contractes, dans la signification du futur second :

Οὐθὴν Ἕκτορι πάντα νοήματα μητιέτα Ζεὺς
Ἐκτελέει, ὅσα που νῦν ἔλπεται. Ιλ. Κ, 104.

Mais la promesse d'Hector à Dolon, dans le vers 330,

Μὴ μὲν τοῖς ἵπποισιν ἀνὴρ ἐποχήσεται ἄλλος
Τρώων, ἀλλά σέ φημι διαμπερὲς ἀγλαϊεῖσθαι

montre que Dolon entrera en jouissance aussitôt après son retour. Ces exemples prouvent que le deuxième futur suit le paulopost; mais les poëtes, pour la mesure, et les orateurs par euphonie, emploient quelquefois ces temps l'un pour l'autre; ils ajoutent aux premiers futurs les particules αὐτίκα, ἤδη, νῦν, pour leur donner la signification du second, et à celui-ci les particules qui peuvent l'éloigner du présent, comme:

Ἔκτε καὶ ὀψὲ τελεῖ... Il. Δ', 161.

§ 2. *Des Temps Secondaires.*

IMPARFAIT.

Ce temps exprime une action passée, mais incomplète; aussi quelques auteurs l'emploient par modestie en parlant de leurs œuvres, pour faire voir que l'ouvrage de l'homme est toujours imparfait: *Praxitèle faisait*. Πραξιτέλης ἐποίει. Quelques grammairiens l'appellent *temps historique*; d'autres, *présent continuel*; cependant la dénomination de présent ne lui convient pas, parce qu'on ne le prononce pas en même temps que l'on agit, ce qui a lieu pour le présent. Nous l'appelons encore παρατατικός, *temps prolongé*.

PLUS-QUE-PARFAIT.

Il suit immédiatement l'imparfait, et il en achève l'action; il est pour l'imparfait ce que le parfait est pour le présent: ἄρτι μὲν ἐπεπαύμην, Lucien: *je venais de cesser*, et Platon dans Euthip. ἴσως ἂν ἤδη παρὰ σοῦ τὴν ὁσιότητα ἐμεμαθήκειν. *peut-être aurais-je bientôt appris de vous* la

τὸν αὐτίκα μετὰ τὴν ἐπάνοδον. ἐμφαίνει ἀγλαϊσμόν. Ὅτι μὲν οὖν ὁ Μέλλων δεύτερος προσεχῶς τῷ Μετ' ὀλίγον κεῖται, τὰ προκατειλεγμένα δηλοῖ. ὅτι δὲ τοῖς χρόνοις προσχρῶνται οἱ ποιηταὶ πολλάκις μέτρου χάριν, οὔτε ῥήτορες εὐφωνίας, καίτοι ἐπ' ἔλαττον, οὐκ ἄδηλον, ἐφ' ᾧ καὶ τοὺς ἀπωτέρω Μέλλοντας εἰς δήλωσιν τοῦ οὐκ εἰς μακρὰν ἐσομένου, ἐπιῤῥηματικοῖς μορίοις συνεκφέρονται τοῖς αὐτίκα, ἤδη, νῦν· ἀλλὰ καὶ ἀνάπαλιν τοῖς δευτέροις Μέλλουσι τὰ ἀπώτερόν τι δηλοῦντα μόρια συμπεριλαμβάνουσιν, ὡς τὸ,

Ἔκ τε καὶ ὀψὲ τελεῖ. . . Ἰλ. Δ, 161.

§ Β'. Περὶ τῶν Δευτερευόντων χρόνων.

ΠΑΡΑΤΑΤΙΚΟΣ.

Οὗτος ἔργον μὲν ἐμφαίνει μὴ τετελεσμένον, κατὰ δὲ παράτασιν γιγνόμενον ἐν χρόνῳ παρελθόντι· ἀτελοῦς δ' ὄντος τοῦ κατὰ παράτασιν ἔργου, προσεχρήσαντό τινες μετριοφροσύνην ἐνδεικνύμενοι, ἐπιγράφοντες πίναξι καὶ ἀγάλμασιν, ὡς τὰ Πραξιτέλης ἐποίει· ὅπερ ἐστὶν ἐβούλετο μὲν τέλειον ποιῆσαι, οὐκ ἠδυνήθη δέ· τινὲς δὲ καὶ ἱστορικὸν, καὶ συνεχῆ ἄλλοι ἐνεστῶτα ἐκάλεσαν, διὰ τὸ τὸ παρατεινόμενον τοῦ χρόνου ἐκ τῆς κατὰ διαδοχὴν προσθήκης συγκεῖσθαι τοῦ νῦν· οὐκ ὀρθὸν μέντοι τὸ δεύτερον· οὐ γὰρ τὸ συνεχὲς τοῦ νῦν ἐστι, καθ' ὃν χρόνον ὁ λέγων λέγει, ἀλλὰ πρότερον· εἰδὲ ταῦτα ἀπαρέσκει τῷ ἀνδρὶ, δειξάτω ἡμῖν ἄλλην βελτίω κλῆσιν·

ΥΠΕΡΣΥΝΤΕΛΙΚΟΣ.

Οὗτος δὲ τῷ παρατατικῷ ἕπεται ἀμέσως, τὴν τούτου πλήρη συντέλειαν δηλῶν· καὶ εἴη ἂν κυρίως τῷ παρατατικῷ παρακείμενος· ἄρτι μὲν ἐπεπαύμην, Λουκιανός· καὶ Πλάτων ἐν Εὐθύφρονι· ἴσως ἂν ἤδη παρὰ σοῦ τὴν ὁσιότητα ἐμεμαθήκειν· καὶ Ξενοφῶν· Κυρ' Αν· δ'·

ῴκουν δὲ ἐν τοῖς ὀχυροῖς, καὶ τὰ ἐπιτήδεια ἐντούτοις ἦσαν ἀνεκεκομισμένοι· μικρὸν γὰρ πρὸ τοῖς τῶν Ἑλλήνων ἀφίξεως· ὅτι δὲ, ὥςπερ ὁπαρακείμενος τὸ αὐτίκα πρὸ τοῦ ἐνεστῶτος, οὕτω καὶ οὗτος τὸ αὐτίκα πρὸ τῶν παρῳχημένων γενέσθαί τι δηλοῖ μάρτυς ἡ Ὁμηρικὴ χρῆσις· ἔφη γὰρ περὶ τοῦ Σαρπηδόνος καὶ Τληπολέμου, ὧν τὰ δόρατα μὲν ἐῤῥιφθήτην ὁμοῦ ἄμφω, ἀλλ' ὁ μὲν Σαρπηδὼν βάλεν, ὁδὲ Τληπόλεμος βεβλήκει· τοῦ Σαρπηδόνος πρότερον βεβλημένου· οὕτω καὶ Μηριόνης Φέρεκλον ἐνήρατο· τὸν βεβλήκει γλουτὸν κατὰ δεξιόν. τῷ μέντοι τοὺς ποιητὰς, ἀντιχρονισμοῖς ἐσθ' ὅτε χρῆσθαι, οὐκ εὔλογον οἶμαι τὴν κλῆσιν ἁπλῶς ἐκφαυλίζειν.

ΑΟΡΙΣΤΟΣ Α'.

Τὸν μὲν οὖν παρακείμενον καὶ ὑπερσυντελικὸν διὰ τὸ συντελεστικοὺς ἐνεστῶτος καὶ παρατατικοῦ εἶναι, συνέβαινε προσδιωρίσθαι ἰδίοις ὠνόμασιν. οὐ μὴν δὲ τὸν μετὰ τούτους· οὐ δὲ γὰρ ἦν κατὰ τὸ τέλειον τῆς πράξεως χρόνον ἕτερον διορίσασθαι, ἀλλ' οὐδὲ πρᾶξιν· ἤτοι γὰρ τὸ πολλάκις καὶ ἀτελῶς, ὅπερ ἦν ἐνεστῶτος καὶ παρατατικοῦ, ἢ τὸ τούτων αὐτίκα τέλειον, ὅπερ τῷ παρακειμένῳ, καὶ ὑπερσυντελικῷ παρείπετο, ἢ τὸ ἅπαξ καὶ τέλειον, ὅπερ ἦν Ἀορίστου· περιΐστατο δέγ' εἰς ἀπειρίαν ἄλλως ἡ διαίρεσις, τοῦ χρόνου ἀεὶ ἐν κινήσει νοουμένου. ᾧ ἐπιστήσαντες οἱ

piété. Et Xénop. exp. Cyr. 4. *ils habitaient les forteresses où ils venaient de transporter les choses nécessaires à la vie*. Car peu de temps avant l'apparition des Hellènes, ces habitans y avaient transporté leurs provisions. Le plus-que-parfait précède le temps passé dans l'action, comme le prouve la lecture d'Homère. Ce poète dit en parlant de Sarpédon et de Tlépolème ὁ Σαρπηδὼν βάλεν· ὁ δὲ Τληπτόλεμος βεβλήκει, de façon que les javelots furent lancés au même instant, mais Sarpédon fut blessé le premier. En parlant de Mérion qui a tué Phéréclus, il emploie aussi le parfait βεβλήκει. Il est vrai que les poètes se permettent quelquefois des antichronismes, mais les licences poétiques ne détruisent pas la véritable signification des temps.

AORISTE 1er.

Le parfait et le plus-que-parfait, exprimant l'accomplissement du présent et de l'imparfait, pouvaient être définis par des noms particuliers, ce qui n'avait pas lieu pour les autres temps passés. Car l'époque ou la durée d'une action ne peut se rattacher qu'aux cinq distinctions suivantes : 1° elle se fait continuellement sans être achevée, ce qui est marqué par le présent; 2° elle vient d'être achevée, ce qui est indiqué par le parfait; 3° elle se faisait continuellement sans être achevée, ce qui est indiqué par l'imparfait; 4° elle venait d'être accomplie, comme le plus-que-parfait nous l'exprime; 5° enfin, elle a été accomplie une fois et complètement dans le temps passé, et c'est l'action que marque l'aoriste. De plus nombreuses divisions de la durée seraien

inutiles. Les anciens, ayant observé qu'à chaque instant du passé pouvait correspondre quelque action une fois achevée, ont donné à chacun de ces momens le nom d'aoriste, nom générique et applicable à tout le temps, qu'ils regardaient comme indéfinissable. Le grammairien Apollonius, en disant que ἀόριστος est un temps négatif du parfait et du plus-que-parfait, comme le genre neutre est une négation du masculin et du féminin, a avancé un principe erroné; mais il a eu raison de dire que *l'aoriste renferme et l'imparfait et le plus-que-parfait.* En effet, à défaut de noms particuliers, les anciens employaient les noms génériques : les noms dérivatifs doivent être ou *paronymes*, ou *verbaux*. Après avoir subdivisé les *paronymes* en *paronymiques*, *possessifs*, etc., ils ont appelé *paronymes* une partie de ces noms; les pronoms sont : ou démonstratifs, *moi*, *toi*, *celui-ci*; ou relatifs, et cependant ils donnaient spécialement à οὗτος la dénomination de pronom démonstratif. De même qu'Aristote avait désigné, par un nom commun, (3. politiqu.) Ἀρχὴν Ἀόριστον : la charge de président des délibérations, et celle de président des débats judiciaires, faute d'un nom particulier. Ainsi, l'on a donné le nom d'aoriste, s'il m'est permis d'employer les expressions d'Aristote, au temps qui embrasse tout le passé jusqu'au moment du présent, et nous disons : πάλαι ἔγραφα, χθὲς ἔγραψα, σήμερον ἔγραφα.

AORISTE 2.

Dans les écoles de la Grèce, l'on a cherché à établir

πάλαι, καὶ τὸ ἅπαξ γενέσθαι τί τέλειον ἑκάστοις τοῖς τοῦ χρόνου μορίοις παρασυμβαῖνον κατανοήσαντες, Ἀόριστον τοῦτον γενικῷ ὀνόματι ἐκάλεσαν, προσιδιάζοντι καὶ τῷ χρόνῳ· ἀόριστος γάρ· τὸ δὲ τῷ Ἀπολλωνίῳ εἰρημένον, κατὰ ἀπόφασιν τῶν προειρημένων δύο χρόνων ἐθεματίσθη, οὐκ ἔρρωται· οὐ γὰρ ὥςπερ τὸ οὐδέτερον γένος, τὸ ἀποφάσκον τὸ ἄρρεν καὶ τὸ θῆλυ, ὁ χρόνος οὗτος ἐστίν, ὀρθότατον δέγε, ὃ ἀνωτέρω φησίν· ἐμπεριέχει γὰρ τὸ παρῳχημένον τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ· καὶ ἐοίκασιν οἱ πάλαι ἰδίων ἐλλείποντες ὀνομάτων, τοῖς γενικοῖς προσχρήσασθαι· ὥςπερ ἐπὶ τῶν παραγώγων ὀνομάτων, ἅπερ ἐν γένει εἰσὶ παρώνυμα, καὶ ῥηματικά· ὑποδιαιρέσαντες μέντοι εἰς πατρωνυμικὰ, κτητικὰ, κ. τ. λ. παρώνυμον ἐκάλεσαν τῷ γενικῷ ὀνόματι τὸ ἕτερον εἶδος· κἀπὶ τῶν Ἀντωνυμιῶν ὡςαύτως· Δεικτικαὶ γὰρ ἅπασαί εἰσιν, ἢ Ἀναφορικαί· ἀλλ' οὖν τὴν οὗτος Δεικτικὴν ἰδίως ἐκάλεσαν· ὥςπερ καὶ Ἀριστοτέλης Ἀόριστον Ἀρχὴν τὴν τοῦ Δικαστοῦ καὶ Ἐκκλησιαστοῦ ἔφη, διὰ τὸ κοινὸν ἀμφοῖν καὶ μὴ ἔχειν ἴδιον ὄνομα (γ' πολιτ.). ἢ καὶ ὁ χρόνος οὗτος, Ἀόριστος ἐκλήθη διορισμοῦ χάριν κατὰ Σταγειρίτην φάναι, ὡς συμπεριλαμβάνων ἅπαντα τὰ μέρη τοῦ χρόνου, τὰ ἀπ' αὐτοῦ μέχρι τοῦ Ἐνεστῶτος· ἔστι γὰρ φάναι, πάλαι ἔγραψα, χθὲς ἔγραψα, σήμερον ἔγραψα.

ΑΟΡΙΣΤΟΣ Β'.

Διηνέχθησαν ἐν ταῖς τῆς Ἑλλάδος Σχολαῖς, εἴπερ οὗτος ὁ

χρόνος διάφορος εἴη τῷ Α' Ἀορίστῳ, οἱ μὲν ἐγγύτερον τῷ Ἐνεστῶτι αὐτὸν θεματίζοντες τοῦ Α', οἱδὲ ταὐτὸν τῷ Α'· τοῖς μὲν συνηγόρει τὸ συμπίπτειν αὐτὸν τῷ Παρατατικῷ, ἐφ' ὧν ῥημάτων οὐκ ἐνδέχεται τοῦτον σχηματισθῆναι· ὡς τὰ, ἠμείβετο, ἐξέφερον παρὰ τῷ ποιητῇ, καὶ ἄλλα· ὁδὲ Παρατατικὸς Ἐνεστὼς ἦν παρελθὼν, καὶ ἀτελής. τοῖς δὲ ἡ ἀδιάφορος χρῆσις παρά τε ποιηταῖς, καὶ Συγγραφεῦσιν αὐτοῦ τε καὶ τοῦ Α Ἀορίστου, ἑτέρου τῷ ἑτέρῳ ἑπομένου, ἢ ἡγουμένου· αὐτίκα γὰρ ὁ Ξενοφῶν Κυρ. Ἀναβ. Γ. κεφ. Α' φησί· καὶ ὅσα, ἐπεὶ Κῦρος ἐτελεύτησεν, ἐγένετο· μετὰ γὰρ τὴν τελευτὴν τῦ Κύρου ἐγένετο· ἐνδὲ τῇ Κυρ. Παιδ. Α' κεφ. Ζ' φησίν· ἐπεὶ προσείλοντο καὶ οὗτοι δὴ τοὺς τέτταρας ἕκαστοι, συνέλεξεν αὐτοὺς, καὶ ἔλεξεν· ἔνθα τὸ προσείλοντο προηγούμενόν τι δηλοῖ τοῦ ἔλεξε. διὸ καὶ συγκατατίθεμαι τοῖς δευτέροις· πολλὰ δὲ παραδείγματα ἐπὶ τούτῳ παραθέσθαι περιττὸν ἡγησάμην, συνεχοῦς τῆς τοιᾶσδε χρήσεως οὔσης.

Τοιαύτης οὖν τῆς καθ' Ὁριστικὴν σημασίας οὔσης τῶν χρόνων, εὐχερὲς κατιδεῖν καὶ περὶ τῶν ἄλλων Ἐγκλίσεων· σαφὲς δ' ὅτι ἡ Προστατικὴ καὶ Ὑποτακτικὴ τῷ Μέλλοντι χρόνῳ κεκλήρωται, διὸ καὶ ἰδίως μέλλοντος ἐλλέλειπται· ἐπὶ γὰρ μὴ γεγονότος ἡ πρόσταξις· ὅθεν τὸ μὲν γράφε δηλοῖ τὸ συνεχὲς ἐν Μέλλοντι καὶ ἀτελές· τὸ δὲ γέγραφε, τὸ αὐτίκα συντελέσαι τὸ γραφόμενον· τὸ δὲ γράψον, τὸ ἅπαξ ἐν Μέλλοντι· τὸ δὲ μετ' ὀλίγον, ἢ μετὰ πολὺ, ταῖς χρονικοῖς ὁρίζεται μορίοις.


Τοῦ αὐτοῦ λόγου ἔχεται καὶ ἡ Ὑποτακτικὴ, τοῖς βούλησιν ἐμφαίνουσιν ἐπαγομένη ῥήμασι· τὰ γὰρ ἐπαιδεύθη, ἵνα ἀτακτήσῃ· καὶ ἔκλαυσεν, ἵνα γέλωτα παράσχῃ,

une différence entre ce temps et l'aoriste 1er. Certains grammairiens soutenaient d'une part qu'ils se rapprochaient davantage du présent, parce qu'il est confondu, dans plusieurs verbes, avec l'imparfait qui n'est qu'un présent passé : *ἠμείϐετο, ἐξέφερον*, dans Homère. Tandis que d'autres regardaient le 1er aoriste comme identique au second par la signification. Or les poètes et les prosateurs employaient indifféremment l'un pour et après l'autre. Xénoph. Cyr., Exped. III, chap. 2, dit : *καὶ ὅσα, ἐπεὶ Κῦρος ἐτελεύτησεν, ἐγένετο·* ici l'action de *ἐτελεύτησεν* aoriste 1er, précède celle de *ἐγένετο* aoriste 2 ; mais dans la Cyrop., liv. I, chap. 7, il place l'aoriste 2 avant le premier : *ἐπεὶ προσείλοντο καὶ οὗτοι δὴ τοὺς τέτταρας ἕκαστοι, συνέλεξεν αὐτοὺς, καὶ ἔλεξεν.* Dans les autres écrivains, on trouverait une foule d'exemples où ces deux temps se succèdent tour-à-tour, ce qui me fait admettre la dernière opinion.


Après avoir ainsi fixé la signification des temps de l'indicatif, il est facile de déterminer celle des temps correspondans des autres modes. L'impératif et le subjonctif se rapportent aux actions futures, c'est pourquoi ils n'ont pas un temps spécial pour le futur : tout commandement suppose une chose à faire : ainsi *γράφε* signifie : *écris toujours ; γέγραφε, écris aussitôt ; γράψον, écris une fois à l'avenir.* Ce sont les adverbes de temps qui déterminent l'époque de l'avenir marquée par l'aoriste impératif.

Le subjonctif indique l'avenir, comme l'impératif, lorsqu'il dépend de verbes qui expriment la volonté. Quant aux subjonctifs dans ces phrases : *ἐπαιδεύθη, ἵνα, ἀτακτήσῃ*, et *ἔκλαυσεν, ἵνα γέλωτα παράσχῃ*, ils suppo-

sent le participe βουλόμενος sous-entendu. Les infinitifs qui dépendent des verbes, qui expriment la volonté ou une décision, marquent aussi l'avenir. Cependant, lorsqu'ils dépendent des verbes *narratifs*, ou de ceux qui indiquent la pensée, ils se rapportent au passé, au présent et au temps futur. Le tableau suivant offre l'application de notre théorie.



ἐλλειπτικῷ σχήματι εἴρηται, ὑπονοουμένου τοῦ βουλόμενος· ὁμοίως δ' ἔχει καὶ τὰ Ἀπαρέμφατα τοῖς βουλητικοῖς τε καὶ βουλευτικοῖς συμφερόμενα τῶν ῥημάτων· τοῖς δέγε Δοξαστικοῖς καὶ Ἀφηγηματικοῖς κατὰ τὸ τριμερὲς τοῦ χρόνου συμπαρομαρτεῖ· ἔστω δὲ καὶ τὰ ἐφεξῆς Διαγράμματα εἰς παράστασιν τῆς ἐννοίας τῶν χρόνων.



Οἱ τῆς Εὐκτικῆς καὶ Μετοχῆς χρόνοι τοῦθ' ὅπερ καὶ οἱ τῆς Οριστικῆς ἐμφαίνουσιν· ὁ μέντοι παρατακτικὸς συγκεχυμένος ὢν τῷ Ἐνεστῶτι ἐπὶ τῶν ἄλλων ἐγαλίσεων, προσδιορίζεται τοῖς χρονικοῖς μορίοις, ἢ τοῖς ῥήμασιν, οἷς συνάπτεται· τὸ γὰρ χθὲς λέγων Δίων ἥμαρτε, φησὶν Ἀπολλώνιος, τὸ λέγων παρατατικοῦ εἶναι· ὁ αὐτὸς λόγος κἀπὶ τοῦ μέλλω λέγειν αὔριον· τὸ λέγειν, οὐ παράτασιν δηλώσει, τὸν δὲ ἐνεστῶτα χρόνον, ὃς συντάσσεται τῷ αὔριον· τὸ ἄρα ἔλεγον γράφειν παρατατικὸν δηλώσει, ὡσαύτως καὶ τὸ ἔλεξε γράφειν, καὶ τὸ λέλεχε, καὶ ἐλελέχει γράφειν· ὁμοίως δὲ καὶ περὶ τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ· τὸ γὰρ ἔλεγε γεγραφέναι· ὑπερσυντελικὸν δηλώσει· Ἀλλὰ περὶ μὲν τούτων ἅλις ἔχει ταῦτα. Ἴδωμεν δὲ ἤδη καὶ περὶ τῶν Συνθέτων καὶ γελοίων χρόνων, οὓς ὁ Κοραῆς ἐν τῇ λαλουμένῃ ἐμπαρεισάξαι βούλεται.

§. Γ'. Περὶ τοῦ θέλω γράψειν, ἔχω γράψειν, εἶχον γράψειν.

Εἴπερ τὸ θέλω γράψειν, καὶ ἤθελον γράψειν εἶναι γνώριμα τῷ χυδαίῳ οἴεται ὄχλῳ, διὰ τί μὴ καὶ τὸ θέλω γράφειν; μᾶλλον δὲ τὸ γράφειν γνωριμώτερόν ἐστι τοῖς ἀπαιδεύτοις· λέγουσι γάρ, εἶναι σοφὸς εἰς τὸ λέγειν, καὶ ἐπιτήδειος εἰς τὸ γράφειν.

Ἐπιστητέον δ' εἰ τὸ γράψειν, μέλλων ἐστὶν ἐν τῷ θέλω γράψειν· συνηγορεῖ δέπως τῷ ἡμετέρῳ φιλολόγῳ τὸ τὴν θέλησιν ἀφορᾶν ἐφ' ἅ τις μὴ κέκτηται· ἤγουν τὸ θέλω πλουτήσειν, οὐχ ὁ πλουτῶν, ἀλλ' ὁ ἄπορος ἂν εἴποι· ἐλέγχεται μέντοι ὁ λόγος ἐκ τοῦ θέλω πλουτεῖν· ἀπορήσειε γὰρ ἄν τις Α, εἰ τὸ πλουτήσειν ἐπὶ μέλλοντος εἴη, τὸ δὲ πλουτεῖν μή, τοῦ θέλω Ἐνεσ-

La signification des temps de l'optatif et du participe correspond à celle des temps de l'indicatif. Quant à l'imparfait qui est confondu avec le présent dans les autres modes, on le reconnaît ou aux adverbes de temps qui le modifient, ou aux verbes auxquels il peut se rapporter. Dans la phrase : *χθὲς λέγων Δίων ἥμαρτε*, Apollonius dit que *λέγων* est à l'imparfait. Il en est de même de *μέλλω λέγειν αὔριον*, où *λέγειν* est au présent et s'accorde avec *αὔριον*. Mais dans *ἔλεξε γράφειν*, *λέλεχε*, ou *ἐλελέχει γράφειν*, l'infinitif *γράφειν* est à l'imparfait. On en dira autant du parfait et du plus-que-parfait; ex. : *ἔλεγε γεγραφέναι*, où *γεγραφέναι* est au plus-que-parfait. Nous allons examiner maintenant les temps ridiculement composés que M. Coray veut introduire dans le langage vulgaire.

§ 3. De *Θέλω γράψειν*, *ἔχω γράψειν* et *εἶχον γράψειν*.

Si M. Coray pense que le peuple connaît le futur *γράψειν* dans *θέλω γράψειν*, pourquoi croit-il que le présent *γράφειν* n'est pas connu du vulgaire, qui dit souvent *εἶναι σοφὸς εἰς τὸ λέγειν*, et *ἐπιτήδειος εἰς τὸ γράφειν* ?

Examinons pourtant si *γράψειν*, dans *θέλω γράψειν*, est au futur. La seule raison sur laquelle on fonde cette locution, c'est que notre volonté se dirige vers les choses qu'on ne possède pas. Ainsi, dira-t-on que *θέλω πλουτήσειν* convient à un homme pauvre qui veut devenir riche? Mais cette raison ne se peut soutenir, quand on vient à comparer la phrase *θέλω πλουτήσειν* à celle-ci : *θέλω πλουτεῖν*. Car il reste à demander, 1° si *πλουτήσειν* exprimera exclusivement le futur dans *θέλω πλουτήσειν*, et non *πλουτεῖν* dans *θέλω πλουτεῖν*, tandis que

les deux infinitifs dépendent du même verbe θέλω qui est au présent; 2° si dans θέλω πλουτήσειν, θέλω emporte sur πλουτήσειν, ou bien si πλουτήσειν prédomine sur θέλω; 3° s'il y a quelque différence dans les locutions θέλω γράψειν, θέλω γράψαι, et θέλω γράψειν? Avant de résoudre ces questions, nous allons prouver que γράψειν n'est point au futur, et que M. Coray n'est pas conséquent avec lui-même; car il emploie γράψειν, ex. : ἤθελε γράψειν, dans un sens conditionnel pour le passé. Si donc γράψειν est ici au passé, à cause de ἤθελε, pourquoi ne serait-il pas au présent dans θέλω γράψειν? Apollonius dit que γράψειν, dans θέλω γράψειν, est au présent, à cause de θέλω, et à l'imparfait dans ἤθελον γράψειν, à cause de ἤθελον· par conséquent γράψειν dans θέλω γράψειν, ne peut pas être au futur; 4° dans θέλω γράψειν le futur γράψειν n'est point un verbe : les verbes qui expriment la volonté, dit Apollonius, se construisent avec l'infinitif, qui tient la place d'un nom; προαιροῦμαι ἀναγινώσκειν, pour προαιροῦμαι τὴν ἀνάγνωσιν. Même on y joint l'article : προῃρούμην τὸ ῥαθυμεῖν. Ces principes posés, la locution θέλω γράφειν exprime une forme équivalente à celle-ci : ἀνασκευάζω τὰ σχέδια; 5° on ne justifierait pas la proposition, θέλω γράψειν par ce passage d'Homère :

Ἦ ἐθέλεις, ὄφ' αὐτὸς ἔχῃς γέρας, etc. Il. A. 133.

Car les expressions ὄφρ' ἔχῃς sont l'analyse de l'infinitif ἔχειν :

Ἦ ἐθέλεις, αὐτόν σε ἔχειν γέρας, αὐτὰρ ἐμ' αὔτως, etc.

τῶτος ὄντος ἐπ' ἀμφοῖν· Β', εἰ τὸ πλουτήσειν ἐπικρατέστερον εἴη τοῦ Θέλω, ἢ τὸ ἀνάπαλιν· Γ', τίνι διαφέρουσι τὰ Θέλω γράφειν, Θέλω γράψαι, Θέλω γράψειν· Ἀλλὰ μήτοιγε αἱ λοιπαὶ τῶν ἐγκλίσεων δυναμικώτερόν πως δηλοῦσι τὸν χρόνον τοῦ τῶν Ἀπαρεμφάτων, καθ' ὃν ἐν τῷ Θέλω γράψειν, οὐ τὸν μέλλοντα δηλώσει τὸ γράψειν, καὶ οὕτως ὁ ἀνὴρ ἀντιπερίπτει αὐτὸς ἑαυτῷ; ὁμολογεῖ γὰρ τὸ ἤθελε γράψειν, ὅπερ ἐπὶ παρῳχημένου αὐτὸς λαμβάνει· εἰ γὰρ τὸ ἤθελον γράψειν οὐ μέλλων, πῶς ἂν εἴη τὸ Θέλω γράψειν, ὥς που καὶ Ἀπολλώνιος φησίν; εἰ τὸ Θέλω γράφειν Ἐνεστῶτος, λέγω τὸ γράφειν διὰ τὸ Θέλω, παρατατικοῦ ἔσται ἐν τῷ ἤθελον γράφειν· ἐξ ὧν δῆλον, ὅτι τὸ Θέλω γράψειν οὐ μέλλων· Δ', ἐλέγχεται τὸ Θέλω γράψειν τῷ μὴ εἶναι κυρίως ῥῆμα τὸ γράψειν· τὰ γὰρ προαιρετικὰ τῶν ῥημάτων, φησὶν Ἀπολλώνιος, συντάσσεται τοῖς Ἀπαρεμφάτοις, καθὸ προαίρεσιν δηλοῦντα, ἐλλέλοιπε τῷ πράγματι... Θέλω γράφειν, προαιροῦμαι ἀναγινώσκειν, ὡς προαιροῦμαι τὴν ἀνάγνωσιν... κἂν μετὰ Ἄρθρου, προῃρούμην τὸ φιλολογεῖν, ἤπερ τὸ ῥαθυμεῖν· καὶ εἰ τοῦτο, δῆλον, ὅτι τὸ Θέλω γράφειν ἴσον ἔσται τῷ ἀνασκευάζω τὰ Σχέδια· Ε', οὐ κατορθοῦται τὸ Θέλω γράψειν οὐδ' ἐκ τοῦ Ὁμηρικοῦ·

Ἦ ἐθέλεις, ὄφρ' αὐτὸς ἔχῃς γέρας... Ἰλ. Α. 133:

οὐ γὰρ τὸ ἕξειν, ἀλλὰ τὸ ἔχειν δηλοῖ· ἀνάλυσις δ' ἦν Ἀπαρεμφάτου,

Ἦ ἐθέλεις αὐτόν σε ἔχειν γέρας, αὐτὰρ ἔμ' αὔτως·

οὐ γὰρ διὰ τὴν Ὑποτακτικὴν ἔγκλισιν τὸ μέλλον, καί τοι ἄλλως τὰ ἐν Ὑποτάξει, ἢ προστάξει διὰ τὸ μέλλον, οὐκ ἀντιστρέφοντος τοῦ λόγου, ὡς δῆλον · ς΄, παράλογον γὰρ χρῆσθαι τῷ μέλλοντι ἐπὶ τῶν βούλησιν σημαινόντων ῥημάτων, ὅπουγε οὗτος λέγεται ἐπὶ τῶν ἐφ' ἡμῖν, τῆς βουλήσεων κἀπὶ τῶν οὐκ ἐφ' ἡμῖν οὔσης· οἷον, τὸ θέλεις καῦσαι τὰς Γραμματικὰς, οὐ ταὐτὸν τῷ καύσεις· πάλαι γὰρ ἂν αὗται ἐκάησαν, εἴπερ ἐδύνασο. ταύτῃ τοι καὶ οἱ τὴν Γραμματικὴν συντάξαντες τὸν Ἐνεστῶτα μόνον καὶ τὸν Ἀόριστον τῆς Ἀπαρεμφάτου ἀπένειμαν τοῖς προαιρετικοῖς τῶν ῥημάτων· οἷον, θέλω γράφειν, καὶ θέλω γράψαι, ὧν τὸ μὲν τὸ συνεχὲς, τὸ δὲ τὸ ἅπαξ δηλοῖ τοῦ γράφειν· οὐ μὴν δὲ καὶ τὸν μέλλοντα· ὁ γὰρ εἰπὼν, ἐγὼ δείξω αὐτοῖς, ὅτι ζῶ, ἔμφασιν ἐσομένου του ὑπέφηνε, καὶ οὐχ ἁπλῶς βούλησιν· ᾧ λόγῳ οἶμαι καὶ τὰ ἐλπίδος, ἢ ὑποσχέσεως σημαντικὰ τῷ μέλλοντι συνῳκείωται· οὐ γάρ τις ἐλπίζει τὰ ὑπὲρ αὐτὸν, οὐδ' ὑπισχνεῖται·

Σαφὲς δ' ἐντεῦθεν καὶ ὅτι ποτὲ Μέλλοντος ἀμοιρεῖ ἡ Προστακτικὴ καὶ ἡ Ὑποτακτικὴ ἔγκλισις· ἀσύστατοι γὰρ αὗται καθ' ἑαυτὰς, ἡμὲν; ὅπερ πρὸς ὃν ἡ πρόσταξις, ποιήσει ἀποτεινομένη, οὐχ ὅπερ ὁ λέγων, ὃς βούλεται μὲν γενέσθαι τι, παρ' ἄλλου δέ. ἐν δὲ τῇ Ὑποτακτικῇ, ὅτε μὲν εἰς ἄλλου βούλησιν ὁ δρῶν, ὅτε δ' εἰς δισταγμὸν, κἄντε χρονισκῶς, κἄντε ὑποθετικῶς, ἢ ἀοριστολογικῶς ἡ ἔγκλισις ἢ καὶ αἰτιολογικῶς, ὑπάγεται, τοῦ Μέλλοντος παρ' ἑαυτοῦ

Ce n'est point en effet pour rendre le subjonctif que l'on pourrait mettre ici le futur : quoique le subjonctif et l'impératif indiquent l'avenir, on ne les remplace jamais par le temps qui l'exprime ; ce qui suit en démontrera l'évidence. 6° Le futur qui marque une action dont le résultat dépend de nous, ne peut être régi par les verbes expressifs de la volonté, qui va au-delà du possible. Par ex. : *vous voulez brûler les grammaires*, ne veut pas dire : *vous les brûlerez* ; car si vous pouviez les brûler, elles ne seraient déjà plus que cendre et poussière. Ainsi, les grammairiens ont attribué pour régime aux verbes de volonté le présent de l'infinitif, θέλω γράφειν, afin de rendre une action continuelle, et l'aoriste θέλω γράψαι, afin de rendre une action qui s'accomplira une fois. Quand Alcibiade s'écriait : *Je leur ferai bien voir que je suis vivant*, il désignait un projet dont l'accomplissement dépendait de lui. Aussi les verbes, qui signifient *promettre* et *espérer*, se construisent avec le futur, parce qu'on ne promet, on n'espère que ce qui dépend de nous.

On voit par-là pourquoi l'impératif et le subjonctif n'ont pas de futur ; dans l'impératif, celui qui parle veut qu'un autre fasse quelque action pour lui ; dans le subjonctif, il se soumet à la volonté d'un autre, ou bien il annonce comme douteuse l'action qu'il se propose de faire, quelle que soit la particule qui précède le subjonctif : ὅταν, ἐὰν, ἂν, ou ἵνα ; de façon que ces deux modes ne peuvent pas exister par eux-mêmes dans le discours, tandis que le futur suffit pour

exprimer, non la volonté simple, mais la décision et la liberté de l'action de celui qui l'emploie.

La réfutation que nous venons de donner, de θέλω δώσειν, prouve que ἤθελον δώσειν n'est point un temps conditionnel, ni en grec littéraire, ni dans le langage du peuple, qui emploie ἤθελον avec le subjonctif, et avec la particule 'να mise pour ἂν ; ex. : ἤθελε 'να ὠφεληθῇ, que les écrivains rendent par ἤθελεν ἂν ὠφεληθῆναι, ou ἐδύνατ' ἂν ὠφεληθῆναι, ou ὠφελεῖτ' ἂν, etc.

Par la même raison, on ne peut pas non plus regarder ἔχω γράψειν comme un parfait, ni εἶχον γράψειν comme un plus-que-parfait. Peut-être les réformateurs de la langue grecque auraient-ils mieux fait d'employer ἔχω et εἶχον avec le participe du parfait, en imitant les périphrases des auteurs grecs, formées d'ἔχω et des participes : διατελῶν ἔχω au présent, et

Οἷά μοι βεβουλευκὼς ἔχει · Soph., OEdip. roi., 700.

au parfait, quoique ce dernier cas soit très-rare. Quant à la phrase : τὰ ἐπιτήδεια εἶχον ἀνακεκομισμένοι, de Xénophon, exp. Cyr. IV, que l'on regarde comme une circonlocution du plus-que-parfait, la leçon en est au moins douteuse, puisqu'on lit plus bas : τὰ ἐπιτήδεια ἐν τούτοις ἀνακεκομισμένοι ἦσαν. On pourrait même affirmer que les phrases déjà citées ne sont pas des parfaits, ni des plus-que-parfaits composés, parce qu'on peut lire : οἷά μοι ἔχει, βεβουλευκὼς, et εἶχον τὰ ἐπιτήδεια, ἀνακεκομισμένοι ; et qu'aucun des anciens grammairiens ne fait mention de parfaits, ni de plus-que-parfaits composés

ὑφισταμένου, καὶ ἐν ἀποφάνσει τὴν τοῦ οἴκοθεν δρῶντος κίνησιν ἐπαγγέλοντος.

Δῆλον δ' ἔτι, ὅτι τὸ ἤθελον δώσειν οὔτε τὰ τῆς ὑποθετικῆς ἐννοίας δηλοῖ, καὶ ἄγνωστον τῷ χυδαίῳ λαῷ, ὃς ὑποτακτικῇ συνάπτει τὸ ἤθελον· ὥς τὸ, ἤθελε 'νὰ ὠφεληθῇ περισσότερον, ὅςτις διαβάζῃ τὴν Χαλιμᾶν, ἢ τὰ Σχέδια· ὅπερ ἂν οἱ γράφοντες πεπαιδευμένοι φαῖεν, ἤθελεν ἂν ὠφεληθῆναι, ἢ ἐδύνατ' ἂν ὠφεληθῆναι, ἢ ὠφελεῖτ' ἂν μᾶλλον, κ. λ. τ.

Παράλογα δὲ καὶ τὰ ἔχω δώσειν ἐπὶ παρακειμένου, καὶ εἶχον δώσειν ἐπὶ ὑπερσυντελικοῦ, δἰ οὓς ἀνωτέρω ἐξεθέμεθα λόγους· εὔλογον δ' ἴσως, εἴπερ τὸ ἔχω τῇ τοῦ παρακειμένου, καὶ τὸ εἶχον Μετοχῇ συνήπτετο, τῶν πάλαι συγγραφέων προσχρησαμένων τοιαῖςδε περιφράσεσι· κατὰ μὲν ἐνεστῶτα διατελῶν ἔχω. κατὰ δὲ παρακείμενον σπανίως μὲν, ἀλλ' εὕρηταί γε·

Οἷά μοι βεβουλευκὼς ἔχει· Σοφ. Οἰδ. τυρ., 700.

τὸ δέγε παρὰ Ξενοφῶντι Κυρ., Ἀναβ. δ'. χωρία γὰρ ᾤκουν ἐχυρὰ οἱ τάοχοι, ἐν οἷς τὰ ἐπιτήδεια εἶχον ἀνακεκομισμένοι, ἐπὶ Ὑπερσυντελικοῦ ἀμφίβολον· κατωτέρω γάρ φησι, τὰ ἐπιτήδεια ἐν τούτοις ἀνακεκομισμένοι ἦσαν· καίτοι οὐδὲ παρακειμένους ἢ ὑπερσυντελικοὺς συνθέτους φήσειεν ἄν τις τὰς τοιάσδε φράσεις· δυνατὸν γὰρ ἀναγινώσκειν, οἷά μοι ἔχει, βεβουλευκὼς, καὶ, εἶχον τὰ ἐπιτήδεια, ἀνακεκομισμένοι· ἄλλως τε, διὰ τὸ μηδένα τῶν πάλαι Γραμματικῶν περὶ παρακειμένου τι τοῦ διὰ τοῦ ἔχω εἰπόντος.

ἀλλ' οὖν γε οὐ τοσοῦτον παράλογα, ὅσον τὰ ἔχω γράψειν, καὶ εἶχον γράψειν.

§ Δ'. Περὶ τῶν Μέσων ῥημάτων.

Σελ. ϛϛ', στιχ. κ', ἢ 72, 11. "Εἰς ποίαν ἀπὸ τὰς πολυα-
" ρίθμους Γραμματικὰς, ὅσαι ἀπὸ τῆς ἁλώσεως μέχρι
" τοῦ νῦν κατέκλυσαν τὴν Ἑλλάδα, ἐμπορεῖς νὰ εὕρῃς
" καθαρὰ, τί θέλει νὰ εἴπῃ ἡ μέση τῶν ῥημάτων διά-
" θεσις; "

Καὶ μὴν ὁ Λάσκαρις εἰπὼν, βιάζομαι τὸν φίλον, ἐπ' ἐνεργείας, καὶ βιάζομαι ὑπὸ τοῦ φίλου, ἐπὶ πάθους, ἅλις ταῦτα διηρμήνευσε, προσθεὶς, δεῖ δὲ μᾶλλον περιεργείας ἐν τούτοις, ἢ τέχνης.

Στιχ. κδ', ἢ 15. "Δὲν εἶναι ἀγανακτήσεως ἄξιον, νὰ
" ἀκούῃ τις τοὺς Γραμματικοὺς λέγοντας, ὅτι τὸ μέσον
" ῥῆμα σημαίνει ποτὲ ἐνέργειαν καὶ ποτὲ πάθος;

Ἐχρῆν σε μᾶλλον ἀγανακτεῖν ἐπὶ σεαυτῷ, ὅτι καὶ σὺ κατωτέρω τὰ αὐτὰ ἐρεῖς.

" Καὶ νὰ ἔχωμεν ἀπὸ τοὺς ἀλλοφύλους Ἑλληνιστὰς
" χρείαν νὰ μάθωμεν τὴν φύσιν τοῦ μέσου ῥήματος ἡμεῖς
" οἱ Γραικοὶ, εἰς τῶν ὁποίων τὴν κοινὴν γλῶσσαν σώ-
" ζεται τὸ μέσον ῥῆμα;

Ἀλλ' εἰ τοῦτο " εἰς τὴν κοινὴν γλῶσσαν σώζεται, πῶς ἔπειτα μανθάνομεν τοῦτο παρὰ τῶν Ἑλληνιστῶν; ἢ ὅτε λέγει ὁ ἀμαθὴς, οὔτε σὺ νίπτεσαι, οὔτε τὸ παιδίον νίπτεις, τάχ' ἀγνοεῖ, ὅτι τὸ νίπτεσαι ἀμεταβάτως λέγεται; ἢ ὅτι τὸ λυποῦμαι ἐπ' ἐμὲ, τὸ δὲ λυπῶ ἐπ' ἄλλους ἀναφέρεται; Ἀλλὰ καὶ ποίαν καθαρὰν ἐξήγησιν ἀπέδωκε τῶν Μέσων ὁ σοὶ θαυμαζόμενος Κούστερος, ὃς ὁριζόμενος αὐτὰ φησίν· ἐνέρ-

de ἔχω· cependant, l'expression ἔχω γεγραφὼς est moins étrange que ἔχω γράψειν, et εἶχον γράψειν.

§ 4. *Des verbes moyens.*

Page κς', lig. κ', ou 72, 11. « Dans quelle de ces « nombreuses grammaires qui, depuis la prise de « Constantinople jusqu'à ce jour, inondent la Grèce, « peut-on trouver ce que c'est que la voix moyenne des verbes? »

Lascaris, en établissant que βιάζομαι τὸν φίλον a le sens actif, tandis que celui de βιάζομαι ὑπὸ τοῦ φίλου est passif, a suffisamment expliqué la voix moyenne; il ajoute encore qu'*il faut moins d'art que d'observation pour la connaître.*

Ligne κδ', ou 15. « Ne doit-on pas justement s'in- « digner, lorsqu'on entend les grammairiens dire que le « verbe moyen exprime tantôt une action et tantôt une « passion. »

Il fallait plutôt vous indigner contre vous-même, qui deviez, plus bas, dire la même chose qu'eux.

« Lorsqu'on nous voit apprendre les verbes moyens « des Hellénistes étrangers, nous, les Grecs, dont le « langage commun a conservé le verbe moyen? »

Si notre langage a conservé le verbe moyen, pourquoi serions-nous dans la nécessité de l'apprendre des étrangers? lorsque le vulgaire dit: οὔτε σὺ νίπτεσαι, οὔτε τὸ παιδίον νίπτεις, ne sait-il pas que νίπτεσαι n'est point un verbe transitif, ou que νίπτεσαι se dit pour la personne qui parle, tandis que l'action de νίπτω tombe sur une autre? Au reste, quelle explication M. Kuster, dont

vous faites tant d'éloges, a-t-il donnée des verbes moyens? Voici sur quelle base il établit la définition de ces verbes : per actionem autem cum passione mixtam, intelligo; 1 eam, per quam ipsi à nobis aliquid patimur; seu quæ in ipsum agentem reflectitur; et per pronomen reciprocum *se*, vel *sibi*, vel etiam additâ præpositione, *per*, *ad se*, *in se*, *inter se*, etc., exprimi solet; 2 actionem quæ ab altero in nos transit, sed volente, curante, mandante, jubente, vel petente nobis aliquid fieri. Or dans les verbes : *ἔρχομαι*, *ἱκνοῦμαι*, *μέμνημαι*, *ἐνθυμοῦμαι*, *οἴομαι*, *ἕδομαι*, *γνώσομαι*, *ὅσσομαι*, *δέρκομαι*, *μέμφομαι*, *βούλομαι*, *ἀσθάνομαι*, *γεύομαι*, *ἔχομαι*, *παραχρούομαι*, et dans mille autres, M. Kuster peut-il prouver que le pronom composé soit sous-entendu, ou qu'il y ait quelque action qui retombe sur nous? Ne doit-on pas en effet s'indigner de vous entendre dire que devant la phrase : *διδάσκομαι τὸν υἱὸν*, est sous-entendue celle-ci : *ἐπὶ τῇ ἐμαυτοῦ ὠφελείᾳ*? Eh quoi? celui qui laboure, celui qui coupe, celui qui bâtit, tout homme, en général, n'est-ce pas pour son avantage qu'il travaille? Et quel est l'homme assez insensé pour ne pas attendre de son action l'avantage qui doit lui en revenir? Quelle grammaire philosophique!

« Que dis-je, des Hellénistes étrangers? Parmi les « Grecs, il y avait de savans grammairiens qui savaient « que la nature des verbes moyens est d'exprimer si- « multanément le sujet et l'objet de l'action. »

Aucun des grammairiens grecs ne reconnaît, à tous les verbes moyens, cette signification; pas même M. Kuster, de l'ouvrage duquel vous avez traduit ce

γειαν πάθει συνημμένην καλῶ, α', καθ' ἣν ἡμεῖς τι παρ' ἑαυτῶν πάσχομεν, ὡς ἐπιστρέφουσαν ἐφ' αὑτοὺς ἐνεργοῦντας, ἐμφαινομένους διὰ τῆς συνθέτου Ἀντωνυμίας ἑαυτὸν, ἑαυτοὺς, ἢ καὶ πρὸς ἑαυτόν, κ. τ. λ. β', ἥτις παρ' ἑτέρου ἐφ' ἡμᾶς μεταβαίνει, θέλοντας, φροντίζοντας, αἰτοῦντας, προστάττοντας, ἢ ζητοῦντας γενέσθαι τι ἡμῖν· ἰδοὺ ἐφ' ἃ βέβηκεν ἡ παρὰ τοῦ Κουστέρου καθαρὰ ἐξήγησις τοῦ μέσου ῥήματος· ἀλλὰ πρὸς Θεοῦ, ἐν τοῖς ῥήμασιν ἔρχομαι, ἱκνοῦμαι, μέμνημαι, ἐνθυμοῦμαι, οἴομαι, ἔδομαι, γνώσομαι, ὄσσομαι, δέρκομαι, μέμφομαι, βούλομαι, αἰσθάνομαι, γεύομαι, ἔχομαι, παρακρούομαι, καὶ ἐν ἄλλοις πολλοῖς, ἐν τίσι τούτων ὑποφαίνεται ἡ σύνθετος Ἀντωνυμία; ἢ ποῦ ἐνταῦθα φαίνεταί τις ἐνέργεια ἐφ' ἡμᾶς μεταβιβαζομένη; ἡλίκης δ' "ἀγανακτήσεως ἄξιον" τὸ λέγειν, ὅτι τὸ "διδάσκομαι τὸν υἱὸν ὑπεμφαίνει ἔξωθεν τὸ, ἐπὶ τῇ ἐμαυτοῦ ὠφελείᾳ"; τί δέ; ὁ σκάπτων, οὐκ ἐπὶ τῇ αὑτοῦ ὠφελείᾳ σκάπτει; ἢ ὁ ῥάπτων, ἢ ὁ οἰκοδομῶν, ἢ ἁπλῶς εἰπεῖν, οὐ πᾶσα πρᾶξις γίνεται ὑπό τινος ἐπὶ τῇ αὑτοῦ ὠφελείᾳ; καὶ τίς τοσοῦτον εὐήθης, ὥστε ποιεῖν τι, μηδὲν αὐτὸς ὠφελούμενος; βαβαὶ τῆς φιλοσόφου Γραμματικῆς·

" Ἀλλὰ τί λέγω ἀλλοφύλους Ἑλληνιστάς; μὴ γὰρ ἔλειψαν ἀπὸ τοὺς Ἕλληνας Γραμματικοὶ φιλόσοφοι, οἱ ὁποῖοι κατενόησαν, ὅτι τοῦ μέσου ῥήματος ἡ φύσις εἶναι νὰ σημαίνῃ ἐν ταὐτῷ ἐνέργειαν καὶ πάθος;

Οὐδεὶς τῶν Ἑλλήνων Γραμματικῶν εἶπε, "τοῦ μέσου ῥήματος" ἐν γένει, ἀλλὰ τινῶν μέσων· ἀλλ' οὐδ' ὁ

Κούστερος αὐτὸς, ἐξ οὗ ταῦτα μετεφράσθη· καὶ σὺ δὲ αὐτὸς κατωτέρω ἐπιλαθόμενος τούτων, διαιρέσεις αὐτὸ καὶ εἰς ἄλλα εἴδη·

" Μηγαρὶ δὲν ἐκατάλαβαν, ὅτι τὸ τύπτομαι, παρα-
" δείγματος χάριν, παθητικὸν ῥῆμα, ὅταν ὁ προφέρων
" αὐτὸ, σημαίνῃ ὅτι τύπτεται ἀπ' ἄλλου"· ἀλλὰ τοῦτο δηλοῖ, ὅτι τότε πάθος σημαίνει· " δύναται χωρὶς ν' ἀλλάξῃ
" σχηματισμὸν, νὰ λάβῃ μέσην διάθεσιν, ἐὰν ὁ προφέρων
" θέλει νὰ σημάνῃ, ὅτι τύπτει αὐτὸς ἑαυτόν;"

Ὅ ἐστι, τότε δηλοῖ ἐνέργειαν.

" Δὲν φέρω μάρτυρα τὸν Ἀπολλώνιον, ὅς τις ἔδειξεν,
" ἀλλὰ κατὰ τὴν συνήθειάν του σκοτεινῶς, ὅτι ἐκατάλαβε
" τὴν φύσιν τοῦ μέσου ῥήματος·

Ὁ ἡμέτερος φιλολόγος, ὅπερ καὶ ἄλλοις τισὶν Ἑλληνισταῖς δοκεῖ οὐκ ὀρθῶς, οἴεται τὴν Γραμματικὴν τοῦ Ἀπολλωνίου ἀκατάληπτον εἶναι, σαφεστάτην οὖσαν· ἀλλ' ἐν τούτοις ὁ Ἀπολλώνιος φανερῶς λέγει· τὸ γὰρ ἐλουσάμην, ἐποιησάμην, καὶ ἐτριψάμην, καὶ τὰ τούτοις ὅμοια, ἔχει ἐκδηλοτάτην τὴν σύνταξιν, ὁτὲ μὲν ἐνεργητικὴν, ὁτὲ δὲ παθητικήν· σελ. 210· ἄρα ὁ Λάσκαρις καὶ ὁ Θεόδωρος ταὐτὰ τῷ Ἀπολλωνίῳ φθέγγονται· ἄρα καὶ πρὸ τῆς ἁλώσσεως, καὶ μετὰ τὴν ἅλωσιν ἔλεγον, καὶ λέγουσιν οἱ πεπαιδευμένοι, ἀφαιροῦμαί σε τὸ ἱμάτιον, καὶ ἀφαιροῦμαι ὑπὸ σοῦ τὸ ἱμάτιον.

Σελ. κζ', στιχ. ις', ἢ 72, 32. " Ἀρκεῖ νὰ ὀνομάσω
" τοὺς Στωϊκοὺς φιλοσόφους, οἱ ὁποῖοι πολλὰς ἑκατον-
" ταετηρίδας πρὸ τοῦ Ἀπολλωνίου ἐξήγησαν καθαρὰ τῶν
" ῥημάτων τὴν μεσότητα."

Βεβαιότατα οὐχὶ κατὰ τὸν Κούστερον, ἀφορμὴν λαβόντες

que vous avancez ici! Vous même, oubliant ce que vous dites ici, vous allez, plus bas, diviser les verbes en plusieurs espèces.

« Ils avaient compris que, par ex. : τύπτομαι, *je suis* « *frappé*, était un verbe passif, lorsque celui qui « l'emploie veut dire qu'il reçoit une action de la part « d'un autre ; » (alors donc il est passif) « peut deve- « nir moyen sans changer de forme, si celui qui l'em- « ploie veut dire qu'*il se frappe*, » (c'est-à-dire, le même verbe exprime alors une action,) « je ne m'ap- « puie pas ici sur le témoignage d'Apollonius ; qui « prouve, mais d'une manière obscure et conforme à « son style, qu'il avait compris la nature des verbes « moyens. »

C'est à tort que M. Coray pense, avec plusieurs autres hellénistes, que les œuvres, si claires d'Apollonius, sont obscures et incompréhensibles. Voilà ce que cet illustre grammairien dit de certains verbes moyens : ἐλουσάμην, ἐποιησάμην, καὶ ἐτριψάμην, et *les semblables, dont la syntaxe est très-claire, sont, tantôt actifs, et tantôt passifs*, pag. 210. Or, Lascaris et Théodore énoncent le même principe qu'Apollonius. Ainsi, avant et après la prise de Constantinople, on disait et l'on dit encore : ἀφαιροῦμαί σε τὸ ἱμάτιον, καὶ ἀφαιροῦμαι ὑπὸ σοῦ τὸ ἱμάτιον.

Page κζ', lig. ις', ou 71, 31. « Il me suffit de nommer ici les stoïciens qui, plusieurs siècles avant « Apollonius, ont expliqué clairement les verbes « moyens. »

Sans doute, les stoïciens connaissaient le génie de leur

langue, et ils n'avaient pas besoin, comme M. Kuster, de prendre pour guides les langues étrangères; ce n'est pas eux qui disent que la phrase ἐπὶ τῇ αὐτοῦ ὠφελείᾳ est sous-entendue, ou que les pronoms composés accompagnent toujours les verbes moyens : car les pronoms se joignent aux verbes moyens, comme aux verbes actifs, dans le cas, seulement, où ces verbes se construisent avec eux. Ex. :

Χαριζομένη πόσεϊ ῷ. Il. E., 71.

Νόστον ἑτάροισι διζήμενος, ἠδ' ἐμοὶ αὐτῷ. Odys. Ψ' 253.

Ἔμεθεν περιδώσομαι αὐτῆς· 78.

Μυρμιδόνεσσι πιφαύσκεαι, ἢ ἐμοὶ αὐτῷ. Il. Π. 12.

Ἀνάσσονται δ' ἐμοὶ αὐτῷ· Odys. Δ. 177.

Μέγα μὲν κλέος αὐτῇ ποιεῖται· Odys. B. 125.

Ὡς ἐμαυτῷ θρέμμα θρέψαι μην ἐγώ· Soph. Œd. roi. 1139.

Mais dans les exemples suivans, les pronoms ne sont pas nécessaires :

Πατρὸς ἐμοῦ κλέος εὐρὺ μετέρχομαι· Odys. 3. 83.

Ἀλλὰ σύγ' ἱμερόεντα μετέρχεο γάμου· Il. E. 428.

Ce n'est point en effet pour elle-même que Vénus s'occupe des mariages des mortels.

Ἀτὰρ ἄψ ἀπιὼν, μάλα μέρμερα μήσατο ἔργα· Il. K. 289.

Pense-t-on jamais à se nuire à soi-même? Il est inutile de rapporter d'autres exemples.

παρὰ τῶν ἄλλων γλωσσῶν, ἀλλ' ἐξ αὐτῆς τῆς συνθήκης τοῦ Ἑλληνικοῦ λόγου· ἀλλ' οὐδὲ τὸ "ἐπὶ τῇ αὐτοῦ ὠφελείᾳ" εἶπον ἐκεῖνοι, οὔτε τὴν Σύνθετον Ἀντωνυμίαν ἐννοουμένην τοῖς μέσοις τῶν ῥημάτων εἰσηγήσαντο· πρόσκειται γὰρ αὕτη, τῆς ἐννοίας ἀπαιτούσης· οἷον,

Χαριζομένη πόσεϊ ᾧ. Ἰλ. Ε, 71.

Νόστον ἑταίροισι διζήμενος ἠδ' ἐμοὶ αὐτῷ. Ὀδ. Ψ. 253.

Ἐμέθεν περιδώσομαι αὐτῆς. 78.

Μυρμιδόνεσσι πιφαύσκεαι, ἢ ἐμοὶ αὐτῷ. Ἰλ. Π. 12.

Ἀνάσσονται δ' ἐμοὶ αὐτῷ. Ὀδ. Δ. 177.

Μέγα μὲν κλέος αὐτῇ ποιεῖται. Ὀδ. Β. 125.

Ὡς ἐμαυτῷ θρέμμα θρεψαίμην ἐγώ. Σοφ. Οἰδ. τυρ. 1139.

Ἄπεστι δ' αὕτη πάλιν τοῦ λόγου ἀπαιτοῦντος·

Πατρὸς ἐμοῦ κλέος εὐρὺ μετέρχομαι. Ὀδ. Γ. 83.

Ἀλλὰ σύγ' ἱμερόεντα μετέρχεο γάμου. Ἰλ. Ε, 429.

Οὐ γὰρ ἡ Ἀφροδίτη ἑαυτῇ μετέρχεται τὰ ἔργα τοῦ γάμου·

Ἀτὰρ ἀψ ἀπιὼν, μάλα μέρμερα μήσατο ἔργα. Ἰλ. Κ. 289.

Τίς γὰρ ἑαυτῷ βουλεύεται κακόν; καὶ πλεῖστα ἄλλα, ὧν τὴν ἔκθεσιν περιττὴν ἡγοῦμαι.

Στιχ. ιθ', ἢ 73, 1. " Αὐτοὺς ἔπρεπε νὰ λάβωσιν ὁδη-
" γούς, "

καὶ τίνας μέχρι τοῦδ' ἔλαβον, ἢ λήψονται εἰς τοὐπιόν; ἀνοητότατοι νὴ Δία γ' ἂν εἶεν, εἰ λάβοιεν τὰ Σχέδια·

" Ὅσοι μᾶς κατεπλούτισαν μὲ πτωχὰς γραμματικάς. " Τὰς ποίας λέγεις πτωχάς; τὰς τοῦ Ἀπολλωνίου; ἀλλ' αὐτὸς ὡμολόγησας ἀνωτέρω ἀκαταλήπτους σοι εἶναι· τὴν τοῦ Γαζῆ; ἀλλὰ ταύτης, μὴ τολμηρὸν μὲν εἰπεῖν, ἀληθὲς δὲ, τὰ πλεῖστα οὐκ ἔγνως· οὐ γὰρ ἂν τοσοῦτον κατέγνως ἀνδρὸς, ὃν διὰ θαύματος ἄγουσιν ἅπαντες οἱ τῆς Εὐρώπης ἐλλόγιμοι· τῇ δὲ τοῦ Λασκάρεως μὴ ἐπιστήσας, τὸν ὀρθῶς ἔχοντα ὁρισμὸν τοῦ Ἄρθρου ἐξεφαύλισας.

Στιχ. κγ', ἢ 4. " Εἰς τὴν κοινὴν γλῶσσαν τὰ παθητικά,
" βασανίζομαι, βιάζομαι, δέρομαι, . , καὶ ἄλλα μυρία,
" σημαίνουσι, βασανίζω, βιάζω, δέρω ἐμαυτόν.

Τὰ παρ' Ἕλλησι μέσα ῥήματα, ὅλως ὅμοια ὑπολαμβάνει ὁ ἀνὴρ, τοῖς τῶν Γάλλων; je me frappe, δέρομαι, je m'habille: ἐνδύομαι, κ. τ. λ. καὶ μὴν λογιώτατε, τὰ δέρομαι ἁπλῶς, δέρομαι ἐμαυτὸν, δέρω ἐμαυτὸν, διαφέρουσιν ἀλλήλων· τὸ μὲν γὰρ δέρομαι, ῥηθείη ἂν γαλλιστὶ je me frappe· τὸ δὲ δέρω ἐμαυτὸν, *c'est moi-même que je frappe*· ἔστι γὰρ ταὐτὸν τῷ αὐτὸς δέρω ἐμὲ, καὶ ὑποστραφείσης τῆς συντάξεως, δέρω ἐμαυτόν· λέγω δὲ ὑποστροφὴν τὴν τῆς αὐτὸς, ἢ συνε-

Ligne ιϑ', ou 73, 1. « Il fallait prendre pour guides, « les stoïciens. »

Vous avez raison, et les grammairiens ne feront que vous obéir en évitant de se guider par des improvisations.

« Tous ceux qui nous ont accablés de pauvres grammaires. » Quelles sont ces pauvres grammaires? Seraient-ce les ouvrages d'Apollonius? mais vous venez d'avouer qu'ils sont inintelligibles pour vous? Serait-ce la grammaire de Gazée, dont la plus grande partie vous paraît obscure; et vous est-il permis, ne le comprenant pas, de blâmer cet homme, que les savans et les littérateurs admirent dans toute l'Europe? Que si vous parlez de celle de Lascaris, n'ayant pas saisi le sens de la définition exacte de l'article, c'est à tort que vous la méprisez.

Ligne κγ', ou 4. « Dans la langue vulgaire, les verbes « passifs βασανίζομαι, βιάζομαι, δέρομαι, et tant d'au- « tres, signifient : βασανίζω, βιάζω, δέρω ἐμαυτόν. »

Que ἐνδύομαι se rende par *je m'habille*, et δέρομαι par *je me frappe*, je n'y vois pas une raison pour assimiler les verbes moyens grecs aux verbes réfléchis de la langue française. En grec, δέρομαι, δέρω ἐμαυτὸν, et δέρομαι ἐμαυτὸν n'expriment pas la même chose; δέρομαι sans régime, peut se rendre en français par *je me frappe*; mais δέρω ἐμαυτὸν équivaut à *c'est moi que je frappe, ce n'est pas un autre;* parce qu'il est pour αὐτὸς τύπτω ἐμέ: c'est-à-dire, ἐγὼ αὐτὸς τύπτω ἐμέ. En composant αὐτὸς

avec ἐμὲ, la phrase est ainsi exprimée : δέρω ἐμαυτὸν dans la voix active, d'où l'on forme δέρομαι ἐμαυτὸν dans la voix moyenne. J'entends *par voix moyenne, celle dont l'action n'est pas aussi complète qu'elle pourrait l'être, que le verbe soit d'ailleurs transitif, ou réfléchi;* et c'est en quoi elle diffère de la voix active, dont l'action est complète autant qu'elle est susceptible de l'être. Le nom de verbes *moyens* a donc été attribué à ceux *qui tiennent une place moyenne* entre la disposition active, et entre la disposition passive; ainsi dans δέρω ἐμαυτὸν l'action est comme transitive, et par conséquent complète, tandis que dans δέρομαι ἐμαυτὸν elle n'a pas son parfait accomplissement. Nos écrivains classiques, qui emploient les verbes moyens, dans une action incomplète, offrent la preuve de ce que nous avançons. Xénophon, Cyr. ped. 1, dit : οἱ δὲ φύλακες προσελάσαντες ἐλοιδόρουν αὐτόν. Dans cette phrase, ἐλοιδόρουν exprime un *reproche piquant* de la part des gardiens, envoyés exprès pour veiller sur Cyrus et qui, craignant pour lui quelque accident facheux, le menaçaient de l'accuser devant son grand-père. Tandis que pour son oncle, Xénophon dit : ἐλοδοροῖτο, les reproches étant adoucis dans sa bouche par le ton de l'affection. Calchas, dans Homère, dit : οἴομαι δ' ἄνδρα χολωσέμεν, dans la voix moyenne, en parlant d'une manière douteuse et non affirmative; c'est ainsi que Jupiter s'adresse à Junon, en ces termes : αἰεὶ μὲν ὀΐεαι pour lui faire voir que ses soupçons ne lui servent de rien. Mais Achille, à qui Agamemnon avait dit ὀΐω dans la voix active, réplique par le même verbe ὀΐω; car tous les deux voulaient

νοεῖτο ἡ ἐγὼ πρὸς διαστολὴν προσώπου, σύνθεσιν τῇ ἐμέ· κἀκ τοῦ δέρω ἐμαυτὸν ἐνεργητικοῦ, μέσως τὸ δέρομαι ἐμαυτόν. Μεσότητος δ' ἐνέργειαν καλῶ τὴν μὴ γινομένην, ὅσον ἐνδέχεται, κἄν τε ἀντανακλώμενον, κἄν τε μεταβατικὸν ᾖ τὸ μέσον· ἢ καὶ διενήνοχε τοῦ ἐνεργητικοῦ, ὅσον ἐνδέχεται τὴν ἐνέργειαν γίνεσθαι δηλοῦντος· καὶ ἕνεκά γε τούτου μέσον εἴρηται τὸ ῥῆμα, διὰ τὸ εὐτελέστερον τοῦ τελείου κατά τε πάθησιν καὶ δράσιν· ὅθεν καὶ τὸ δέρω ἐμαυτὸν μεῖζόν τι δηλοῖ τοῦ δέρομαι ἐμαυτόν. Μάρτυς δὲ καὶ ἡ χρῆσις τῶν Συγγραφέων, χρωμένων τοῖς μέσοις ἐπ' ἀτελοῦς ἐνεργείας· αὐτίκα γὰρ ὁ Ξενοφῶν Κυρ. Παιδ. Α. ἔφη· οἱ δὲ φύλακες προσελάσαντες ἐλοιδόρουν αὐτὸν, αὐστηρᾶς δηλονότι τῆς λοιδορίας οὔσης· ἐπέμφθησαν γὰρ ὅπως φυλάττοιεν τὸν Κῦρον· καὶ δεδιότες μή τι πάθοι, μετ' ἀγανακτήσεως προσηνέχθησαν αὐτῷ, φάντες κατερεῖν αὐτοῦ τῷ πάππῳ· ὁ μέντοι Θεῖος ἐλοιδοροῖτο αὐτῷ, τῆς λοιδορίας γενομένης ἠπιωτέρας, καὶ οὐ θυμοδακοῦς· καὶ ὁ Κάλχας δ' ἔφη· οἴομαι δ' ἄνδρα χολωσέμεν, ὑπενδοιάζων καὶ οὐ διαβεβαιούμενος· καὶ τὸ τοῦ Διὸς πρὸς τὴν Ἥραν, αἰὲι μὲν ὀΐεαι, ἀτελῆ καὶ ἄπρακτον δόκησιν ἐμφαίνει· ὁ μέντοι Ἀχιλλεὺς, τοῦ Ἀγαμέμνονος εἰπόντος ὀΐω, καὶ αὐτὸς ὀΐω οὐ πείσεσθαι ἐπέφερεν· ἑκάτερος γὰρ ἐδήλου, οὐ

δόκησιν ἀτελῆ, βεβαίωσιν δὲ τῆς δοκήσεως· οὕτω δὲ καὶ Σοφοκλῆς,

Σὲ γὰρ τῶνδ' ἐς πλέον, γύναι, σέβω. Οἰδ. Τυρ. 699.

οὐ σέβομαί φησι, κατὰ μείζονα διάθεσιν τὴν ἐνεργητικήν· οὕτως οὖν οἰκοδομῶ τέλειόν τι ἐμφαίνει, οἰκοδομοῦμαι, δ' ἀτελές· οὕτω καὶ ναυπηγοῦμαι, θύομαι, λύομαι· ἅπερ οἱ Γάλλοι διὰ τοῦ faire bâtir, faire construire, ἑρμηνεύσειεν ἂν κυρίως.

Ὁ δὲ λόγος τῆς τοιᾶσδε μεσότητος, τὸ μὴ ἐνδέχεσθαι ἐνεργεῖν τελείως ἐφ' ἑαυτὸν ἐπὶ μὲν τῶν ἀντανακλωμένων· οὐδεὶς γὰρ τύπτει ἑαυτὸν, ὥσπερ ἕτερον· διὸ καὶ τὸ δέρω ἐμαυτὸν μετενήνεκται ἀπὸ τοῦ δέρω ἕτερον. ἐπὶ δὲ τῶν μεταβατικῶν μέσων, ὅτι ἐν πλείστοις οὐκ αὐτοχειρία ἡ δρᾶσις, οἷα τὰ, οἰκοδομοῦμαι, ναυπηγοῦμαι, μεταπέμπομαι, καὶ ἄλλα, ἐν οἷς τὸ ἀτελὲς τῆς ἐνεργείας ἐμφαίνεται· ὅπερ ὁ Κρύστερος ἀγνοῶν, ἐπεχείρει διορθοῦν καὶ τὸν Ξενοφῶντα, ὡς μὴ ὀρθῶς εἰπόντα Κυρ. Ἀν. βιβλ. Ζ. κεφ. Γ'. ἐπιψηφίζετε ταῦτα, δέον, φησὶ, γράφειν ἐπιψηφίζεσθε, διὰ τὸ ἀλλαχόσε τὸν Ξενοφῶντα εἰπεῖν· πάντες μὲν ἐλέγετε σὺν Σεύθῃ εἶναι, πάντες δ' ἐπιψηφίσασθε ταῦτα· ὅτι δὲ τὰ μέσα, ἀτελῆ τὴν ἐνέργειαν δηλοῖ ἐκ τῶνδε, ἀλλὰ καὶ ἐκ τῶν ἑξῆς δῆλον γεννήσεται.

présenter leur pensée d'une manière affirmative. Sophocle dit :

Σὲ γὰρ τῶνδ' ἐς πλέον, γύναι, σέβω. OEdip. roi, 699.

et non σέβομαι, pour exprimer le respect profond qu'OEdipe avait pour Jocaste. Il en est de même de *οἰκοδομῶ*, dont l'action est complète, et d'*οἰκοδομοῦμαι* dont l'action est incomplète. Ainsi, si *οἰκοδομῶ* veut dire *bâtir*, *οἰκοδομοῦμαι* doit se rendre par *faire bâtir*, *faire construire*, dans le sens moyen.

